to-the corruption to-be-assimilated and passible instead-of impassible
καὶ θνητὸς ἀντὶ ἀθανάτου γίνεσθαι, καὶ συνδυασμοῦ,
and mortal instead-of immortal to-become and of-union
καὶ ῥευστῆς γεννήσεως ἐπιδέεσθαι, καὶ τῇ ἐφέσει τῆς
and flowing generation to-have-need and by-the longing of-the

ζωῆς, τῶν μὲν ἡδέων, ὡς δῆθεν ταύτην συνιστώντων,
life the indeed pleasant(-things) as forsooth this supporting
ἀντέχεσθαι· πρὸς δὲ τοὺς τούτων προμηθουμένους τὴν
to-cling-to to but the(-ones) of-these contriving the
στέρησιν ἀδεῶς ἀπεχθάνεσθαι· καὶ τὴν μὲν ἔφεσιν ἐκ
deprivation fearlessly to-be-hostile and the indeed longing from
Θεοῦ πρὸς τὴν ὕλην, τὸν δὲ θυμόν, ἐκ τοῦ τῆς σωτηρίας
God to the matter the but anger from the of-the salvation
ὄντως ἐχθροῦ μεταφέρειν πρὸς τὸ ὁμόφυλον. Φθόνῳ
truly enemy to-transfer to the kindred by-envy
τοίνυν διαβόλου ἡττήθη ὁ ἄνθρωπος· οὐ γὰρ ἔφερεν ὁ
then of-(the)-devil was-overcome the man not for bore the
φθονερὸς καὶ μισόκαλος δαίμων, αὐτὸς διὰ τὴν ἔπαρσιν
envious and good-hating demon he because-of the pride
κάτω γενόμενος, ἡμᾶς τῶν ἄνω τυχεῖν, ὅθεν καὶ
below having-come (that)-we the upper(-things) should-obtain whence also
θεότητος ἐλπίδι ὁ ψεύστης δελεάζει τὸν ἄθλιον, καὶ
of-divinity by-hope the liar entices the wretched(-man) and
πρὸς τὸ ἴδιον τῆς ἐπάρσεως ὕψος ἀναγαγών, πρὸς τὸ
to the own of-the pride height having-led-up to the
ὅμοιον καταφέρει τῆς πτώσεως βάραθρον.
like brings-down of-the fall pit

Περὶ τῆς θείας οἰκονομίας, καὶ περὶ τῆς πρὸς ἡμᾶς κηδεμονίας, καὶ τῆς ἡμῶν σωτηρίας

XLV · THE DISPENSATION, GOD'S CARE, AND OUR SALVATION

Enticed by the devil, man broke the commandment, lost grace, put on the fig leaves of a toilsome life and the skins of mortality, and was exiled to death and corruption. God called him back through the flood, wonders, the law, and the prophets. Since death had entered through sin, the redeemer had to be sinless: God's goodness had

pity on the fallen, his justice made man himself the victor over the tyrant, and his wisdom found the fitting way. So the Son, by the Father's good pleasure, became perfect man of the Spirit and the Virgin, healing our disobedience by his obedience.

Ταύτῃ τοίνυν τῇ προσβολῇ τοῦ ἀρχεκάκου δαίμονος
by-this then the attack of-the originator-of-evil demon
δελεασθέντα τὸν ἄνθρωπον, καὶ τὴν τοῦ Δημιουργοῦ
having-been-enticed the man and the of-the Creator
ἐντολὴν μὴ φυλάξαντα, καὶ γυμνωθέντα τῆς χάριτος,
commandment not having-kept and having-been-stripped of-the grace
καὶ τὴν πρὸς Θεὸν παῤῥησίαν ἀπεκδυσάμενον, καὶ
and the toward God boldness having-put-off and
σκεπασθέντα τῇ τοῦ μοχθηροῦ βίου τραχύτητι· τοῦτο
having-been-covered with-the of-the toilsome life roughness this
γὰρ τὰ φύλλα τῆς συκῆς· καὶ περιβληθέντα τὴν
for (are)-the leaves of-the fig and having-been-clothed-with the
νέκρωσιν, ἤτοι τὴν θνητότητα καὶ παχύτητα τῆς σαρκός·
deadness that-is the mortality and thickness of-the flesh
τοῦτο γὰρ ἡ τῶν δερμάτων ἀμφίασις· καὶ τοῦ
this for (is)-the of-the skins clothing and of-the
παραδείσου κατὰ τὴν τοῦ Θεοῦ δικαιοκρισίαν γεγονότα
paradise according-to the — of-God just-judgment having-become
ἐξόριστον, καὶ θανάτῳ κατάκριτον, καὶ φθορᾷ ὑποχείριον,
exiled and to-death condemned and to-corruption subject
οὐ παρεῖδεν ὁ συμπαθής, ὁ τὸ εἶναι δούς,
not overlooked(-him) the compassionate(-one) the(-one) the to-be having-given
καὶ τὸ εὖ εἶναι χαρισάμενος· ἀλλὰ πολλοῖς πρότερον
and the well to-be having-bestowed but by-many first
παιδαγωγήσας, καὶ πρὸς ἐπιστροφὴν καλέσας, στόνῳ
having-trained(-him) and to conversion having-called(-him) by-groaning
καὶ τρόμῳ, ὕδατος κατακλυσμῷ, καὶ παντὸς τοῦ γένους
and trembling by-water's flood and of-all the race

μικροῦ δεῖν πανωλεθρίᾳ, συγχύσει καὶ διαιρέσει τῶν
almost — by-destruction by-confusion and division of-the
γλωσσῶν, ἀγγέλων ἐπιστασίᾳ, πόλεων ἐμπρησμῷ, τυπικαῖς
tongues by-angels' supervision by-cities' burning by-figurative
θεοφανείαις, πολέμοις, νίκαις, ἥτταις, σημείοις καὶ τέρασι,
theophanies by-wars by-victories by-defeats by-signs and wonders
ποικίλαις δυνάμεσι, νόμῳ, προφήταις, δι' ὧν τὸ
by-various powers by-law by-prophets through which the(-thing)
σπουδαζόμενον ἦν, ἡ τῆς ἁμαρτίας ἀναίρεσις, πολυσχεδῶς
striven-for was the of-the sin destruction in-many-ways
χεθείσης, καὶ καταδουλωσαμένης τὸν ἄνθρωπον, καὶ
having-been-poured-out and having-enslaved the man and
πᾶν εἶδος κακίας ἐπισωρευσάσης τῷ βίῳ, καὶ ἡ πρὸς τὸ
every form of-wickedness having-heaped-up on-the life and the to the
εὖ εἶναι τοῦ ἀνθρώπου ἐπάνοδος· ἐπειδὴ δι' ἁμαρτίας ὁ
well to-be of-the man return since through sin the
θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν, ὥσπερ τι θηρίον ἄγριον
death into the world entered as some beast wild
καὶ ἀνήμερον, τὸν ἀνθρώπινον λυμαινόμενος βίον· ἔδει δὲ
and untamed the human ravaging life ought and
τὸν λυτροῦσθαι μέλλοντα ἀναμάρτητον εἶναι, καὶ μὴ τῷ
the(-one) to-redeem about sinless to-be and not to-the
θανάτῳ διὰ τῆς ἁμαρτίας ὑπεύθυνον, ἔτι δὲ νευρωθῆναι,
death through the sin liable further and to-be-strengthened
καὶ ἀνακαινισθῆναι τὴν φύσιν, καὶ ἔργῳ παιδαγωγηθῆναι,
and to-be-renewed the nature and by-deed to-be-trained
καὶ διδαχθῆναι ἀρετῆς ὁδόν, τῆς μὲν φθορᾶς ἀπάγουσαν,
and to-be-taught of-virtue (the)-way the indeed from-corruption leading-away
πρὸς δὲ τὴν ζωὴν τὴν αἰώνιον ποδηγοῦσαν· τέλος, τὸ
to but the life the eternal guiding finally the
μέγα περὶ αὐτὸν τῆς φιλανθρωπίας ἐνδείκνυται πέλαγος.
great toward him of-the love-for-mankind he-shows sea

Αὐτὸς γὰρ ὁ δημιουργός τε καὶ Κύριος τὴν ὑπὲρ τοῦ
he for the creator both and Lord the on-behalf-of the
οἰκείου πλάσματος ἀναδέχεται πάλην, καὶ ἔργῳ διδάσκαλος
own creature takes-up struggle and by-deed teacher
γίνεται· καὶ ἐπειδὴ θεότητος ἐλπίδι ὁ ἐχθρὸς δελεάζει τὸν
becomes and since of-divinity by-hope the enemy entices the
ἄνθρωπον, σαρκὸς προβλήματι δελεάζεται, καὶ δείκνυται
man by-(the)-flesh's screen he-is-enticed and are-shown
ἅμα τὸ ἀγαθὸν καὶ τὸ σοφόν, τὸ δίκαιόν τε καὶ τὸ δυνατὸν
at-once the good and the wise the just both and the powerful
τοῦ Θεοῦ· τὸ μὲν ἀγαθόν, ὅτι οὐ παρεῖδε τοῦ οἰκείου
— of-God the indeed good that not he-overlooked of-the own
πλάσματος τὴν ἀσθένειαν, ἀλλ' ἐσπλαγχνίσθη ἐπ' αὐτῷ
creature the weakness but had-compassion on him
πεσόντι, καὶ χεῖρα ὤρεξε· τὸ δὲ δίκαιον, ὅτι ἀνθρώπου
fallen and (a)-hand stretched-out the but just that of-man
ἡττηθέντος, οὐχ ἕτερον ποιεῖ νικῆσαι τὸν τύραννον, οὐδὲ
having-been-defeated not another he-makes to-conquer the tyrant nor
βίᾳ ἐξαρπάζει τοῦ θανάτου τὸν ἄνθρωπον, ἀλλ' ὃν
by-force snatches from-the death the man but whom
πάλαι διὰ τὰς ἁμαρτίας καταδουλοῦται ὁ θάνατος,
long-ago because-of the sins enslaves the death
τοῦτον ὁ ἀγαθός, καὶ δίκαιος, νικητὴν πάλιν πεποίηκε,
this(-one) the good and just conqueror again has-made
καὶ τῷ ὁμοίῳ τὸν ὅμοιον ἀνεσώσατο, ὅπερ ἄπορον ἦν, τὸ
and by-the like the like he-saved which impossible was the
δὲ σοφόν, ὅτι εὗρε τοῦ ἀπόρου λύσιν εὐπρεπεστάτην.
and wise that he-found of-the impossible (a)-solution most-fitting
Εὐδοκίᾳ γὰρ τοῦ Θεοῦ καὶ Πατρός, ὁ μονογενὴς
by-(the)-good-pleasure for — of-God and Father the only-begotten
Υἱός, καὶ Λόγος τοῦ Θεοῦ, καὶ Θεός, ὁ ὢν εἰς
Son and Word — of-God and God the(-one) being in

τὸν κόλπον τοῦ Θεοῦ καὶ Πατρός, ὁ ὁμοούσιος
the bosom — of-God and Father the(-one) consubstantial
τῷ Πατρί, καὶ τῷ ἁγίῳ Πνεύματι, ὁ προαιώνιος,
with-the Father and the holy Spirit the pre-eternal
ὁ ἄναρχος, ὁ ἐν ἀρχῇ ὤν, καὶ πρὸς τὸν
the without-beginning the(-one) in (the)-beginning being and with —
Θεὸν καὶ Πατέρα ὤν, καὶ Θεὸς ὤν, ὁ ἐν μορφῇ
God and Father being and God being the(-one) in (the)-form
Θεοῦ ὑπάρχων, κλίνας οὐρανοὺς κατέρχεται· τουτέστι,
of-God existing having-bowed (the)-heavens comes-down that-is
τὸ ἀταπείνωτον αὐτοῦ ὕψος ἀταπεινώτως ταπεινώσας,
the unhumbled his height unhumbly having-humbled
συγκαταβαίνει τοῖς ἑαυτοῦ δούλοις συγκατάβασιν ἄφραστόν
condescends to-the his-own servants (a)-condescension unspeakable
τε καὶ ἀκατάληπτον· τοῦτο γὰρ δηλοῖ ἡ κατάβασις· καὶ
both and incomprehensible this for shows the descent and
Θεὸς ὢν τέλειος, ἄνθρωπος τέλειος γίνεται, καὶ ἐπιτελεῖται
God being perfect man perfect becomes and is-accomplished
τὸ πάντων καινῶν καινότατον, τὸ μόνον καινὸν ὑπὸ τὸν
the of-all new(-things) newest the only new(-thing) under the
ἥλιον, δι' οὗ ἡ ἄπειρος τοῦ Θεοῦ ἐμφανίζεται δύναμις.
sun through which the infinite — of-God is-made-manifest power
Τί γὰρ μεῖζον τοῦ γενέσθαι τὸν Θεὸν ἄνθρωπον;
what for (is)-greater than-the to-become — God man
Καὶ ὁ Λόγος σὰρξ ἀτρέπτως ἐγένετο, ἐκ Πνεύματος
and the Word flesh unchangeably became from (the)-Spirit
ἁγίου καὶ Μαρίας τῆς ἁγίας Ἀειπαρθένου καὶ Θεοτόκου·
holy and Mary the holy Ever-Virgin and God-bearer
καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων χρηματίζει, ὁ μόνος
and mediator of-God and men is-designated the only
φιλάνθρωπος, οὐκ ἐκ θελήματος, ἢ ἐπιθυμίας, ἢ συναφείας
lover-of-mankind not from will or desire or union

ἀνδρός, ἢ γεννήσεως ἐνηδόνου, ἐν τῇ ἀχράντῳ μήτρᾳ
of-man or begetting pleasurable in the undefiled womb
τῆς Παρθένου συλληφθείς, ἀλλ᾽ ἐκ Πνεύματος ἁγίου, καὶ
of-the Virgin conceived but from (the)-Spirit holy and
τῆς πρώτης τοῦ Ἀδὰμ γενέσεως· καὶ γίνεται ὑπήκοος τῷ
the first — of-Adam genesis and he-becomes obedient to-the
Πατρί, τῷ καθ᾽ ἡμᾶς, καὶ ἐξ ἡμῶν προσλήμματι τὴν
Father by-the like us and from us assumed(-nature) the
ἡμετέραν παρακοὴν ἰώμενος, καὶ ὑπόγραμμος ἡμῖν ὑπακοῆς
our disobedience healing and model to-us of-obedience
γινόμενος, ἧς ἐκτὸς οὐκ ἔστι σωτηρίας τυχεῖν.
becoming which without not (it-is-possible) salvation to-obtain

Περὶ τοῦ τρόπου τῆς συλλήψεως τοῦ Λόγου, καὶ τῆς θείας αὐτοῦ σαρκώσεως

XLVI · HOW THE WORD WAS CONCEIVED, AND HIS DIVINE INCARNATION

An angel announced to the Virgin of David's line that she would bear a son called Jesus, Savior, and she answered, "Let it be to me according to your word." After her assent the Spirit cleansed her and gave her the power to receive the Word, and the Son formed for himself from her pure blood a flesh with a rational and intellectual soul, complete at once, not by growth. The Word himself became the flesh's hypostasis, for it never existed before the union. So we do not say a man was deified, but that God became man, one hypostasis in two natures, without confusion or change.

Ἄγγελος γὰρ Κυρίου ἀπεστάλη πρὸς τὴν ἁγίαν Παρθένον,
(an)-angel for of-(the)-Lord was-sent to the holy Virgin
ἐκ Δαβιτικῆς φυλῆς καταγομένην· Πρόδηλον γὰρ ὡς ἐξ
from (the)-Davidic tribe descended (it-is)-evident for that from
Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, ἐξ ἧς φυλῆς οὐδεὶς
Judah has-sprung the Lord our of which tribe no-one

προσέσχηκε τῷ θυσιαστηρίῳ, ὡς ὁ θεῖος ἔφη Ἀπόστολος·
has-attended at-the altar as the divine said Apostle
περὶ οὗ ὕστερον ἐροῦμεν ἀκριβέστερον. Ἡ καὶ
about which later we-shall-speak more-precisely to-whom also
εὐαγγελιζόμενος ἔλεγε· Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος
bringing-good-news he-said hail favored-one the Lord
μετὰ σοῦ. Ἡ δὲ διεταράχθη ἐπὶ τῷ λόγῳ, καί φησι
(is)-with you she and was-troubled at the word and says
πρὸς αὐτὴν ὁ ἄγγελος· Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ
to her the angel not fear Mary you-found for
χάριν παρὰ τῷ Κυρίῳ, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ
favor with the Lord and you-will-bear (a)-son and you-will-call the
ὄνομα αὐτοῦ Ἰησοῦν. Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ
name his Jesus he for will-save the people his
ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Ὅθεν καὶ τό, Ἰησοῦς,
from the sins their whence also the(-name) Jesus
σωτὴρ ἑρμηνεύεται. Τῆς δὲ διαπορούσης· Πῶς ἔσται μοι
(as)-savior is-interpreted she and being-at-a-loss how will-be to-me
τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; πάλιν φησὶ πρὸς αὐτὴν
this since (a)-man not I-know again says to her
ὁ ἄγγελος· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις
the angel (the)-Spirit holy will-come upon you and (the)-power
Ὑψίστου ἐπισκιάσει σοι. Διὸ καὶ τὸ γεννώμενον
of-(the)-Most-High will-overshadow you therefore also the(-one) being-born
ἐκ σοῦ ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ. Ἡ δὲ πρὸς αὐτόν·
from you holy will-be-called Son of-God she and to him
Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.
behold the handmaid of-(the)-Lord may-it-be to-me according-to the word your
Μετὰ οὖν τὴν συγκατάθεσιν τῆς ἁγίας Παρθένου, Πνεῦμα
after then the assent of-the holy Virgin (the)-Spirit
ἅγιον ἐπῆλθεν ἐπ᾽ αὐτὴν κατὰ τὸν Κυρίου λόγον,
holy came upon her according-to the of-(the)-Lord word

ὃν εἶπεν ὁ ἄγγελος, καθαῖρον αὐτήν, καὶ δύναμιν
which spoke the angel cleansing her and (a)-power
δεκτικὴν τῆς τοῦ Λόγου θεότητος παρέχον, ἅμα δὲ
receptive of-the of-the Word divinity providing at-once and
καὶ γεννητικήν. Καὶ τότε ἐπεσκίασεν ἐπ' αὐτὴν ἡ τοῦ
also generative and then overshadowed upon her the —
Θεοῦ τοῦ Ὑψίστου ἐνυπόστατος σοφία καὶ δύναμις, ὁ
of-God of-the Most-High subsistent wisdom and power the
Υἱὸς τοῦ Θεοῦ, ὁ τῷ Πατρὶ ὁμοούσιος οἱονεὶ
Son — of-God the(-one) with-the Father consubstantial as-it-were
θεῖος σπόρος, καὶ συνέπηξεν ἑαυτῷ ἐκ τῶν ἁγνῶν καὶ
(a)-divine seed and fashioned for-himself from the pure and
καθαρωτάτων αὐτῆς αἱμάτων σάρκα ἐψυχωμένην ψυχῇ
most-pure her bloods flesh ensouled with-a-soul
λογικῇ τε καὶ νοερᾷ, ἀπαρχὴν τοῦ ἡμετέρου φυράματος·
rational both and intellectual (the)-first-fruits of-the our lump
οὐ σπερματικῶς, ἀλλὰ δημιουργικῶς, διὰ τοῦ ἁγίου
not by-seed but by-creation through the holy
Πνεύματος· οὐ ταῖς κατὰ μικρὸν προσθήκαις ἀπαρτιζομένου
Spirit not by-the by degrees additions being-completed
τοῦ σχήματος, ἀλλ' ὑφ' ἓν τελειωθέντος· αὐτὸς ὁ
the shape but at once having-been-perfected he-himself the
τοῦ Θεοῦ Λόγος χρηματίσας τῇ σαρκὶ ὑπόστασις· οὐ
— of-God Word having-become for-the flesh hypostasis not
γὰρ προϋποστάτῃ καθ' ἑαυτὴν σαρκὶ ἡνώθη ὁ θεῖος
for to-pre-subsisting by itself flesh was-united the divine
Λόγος, ἀλλ' ἐνοικήσας τῇ γαστρὶ τῆς ἁγίας Παρθένου,
Word but having-dwelt in-the womb of-the holy Virgin
ἀπεριγράπτως ἐν τῇ ἑαυτοῦ ὑποστάσει ἐκ τῶν ἁγνῶν τῆς
uncircumscribably in the his-own hypostasis from the pure of-the
Ἀειπαρθένου αἱμάτων, σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ
Ever-Virgin bloods flesh ensouled with-a-soul rational

τε καὶ νοερᾷ ὑπεστήσατο, ἀπαρχὴν προσλαβόμενος
both and intellectual he-made-subsist (the)-first-fruits having-assumed
τοῦ ἀνθρωπείου φυράματος, αὐτὸς ὁ Λόγος γενόμενος
of-the human lump he-himself the Word having-become
τῇ σαρκὶ ὑπόστασις. Ὥστε ἅμα σάρξ, ἅμα Θεοῦ
for-the flesh hypostasis so-that at-once flesh at-once of-God
Λόγου σάρξ, ἅμα σὰρξ ἔμψυχος, λογική τε καὶ νοερά.
(the)-Word flesh at-once flesh ensouled rational both and intellectual
Διὸ οὐκ ἄνθρωπον ἀποθεωθέντα λέγομεν, ἀλλὰ Θεὸν
therefore not (a)-man deified we-say but God
ἐνανθρωπήσαντα. Ὢν γὰρ φύσει τέλειος Θεός, γέγονε
having-become-man being for by-nature perfect God he-became
φύσει τέλειος ἄνθρωπος ὁ αὐτός· οὐ τραπεὶς τὴν φύσιν,
by-nature perfect man the same not having-changed the nature
οὐδὲ φαντάσας τὴν οἰκονομίαν, ἀλλὰ τῇ ἐκ τῆς ἁγίας
nor having-made-illusory the dispensation but to-the from the holy
Παρθένου ληφθείσῃ, λογικῶς τε καὶ νοερῶς ἐψυχωμένῃ
Virgin taken rationally both and intellectually ensouled
σαρκί, καὶ ἐν αὐτῷ τὸ εἶναι λαχούσῃ, ἑνωθεὶς
flesh and in him the to-be having-obtained having-been-united
καθ' ὑπόστασιν ἀσυγχύτως καὶ ἀναλλοιώτως, καὶ
according-to hypostasis unconfusedly and unalterably and
ἀδιαιρέτως, μὴ μεταβαλὼν τὴν τῆς θεότητος αὐτοῦ φύσιν
indivisibly not having-changed the of-the divinity his nature
εἰς τὴν τῆς σαρκὸς οὐσίαν, μήτε τὴν οὐσίαν τῆς σαρκὸς
into the of-the flesh substance nor the substance of-the flesh
αὐτοῦ εἰς τὴν φύσιν τῆς αὐτοῦ θεότητος, οὐδὲ ἐκ τῆς
his into the nature of-the his divinity nor from the
θείας αὐτοῦ φύσεως, καὶ ἧς προσελάβετο ἀνθρωπίνης
divine his nature and which he-assumed human
φύσεως, μίαν φύσιν ἀποτελέσας σύνθετον.
nature one nature having-made compound

Περὶ τῶν δύο φύσεων, κατὰ Μονοφυσιτῶν

XLVII · THE TWO NATURES, AGAINST THE MONOPHYSITES

The natures were united without change and did not become one compound nature, for a compound is consubstantial with none of its parts: such a Christ would be consubstantial neither with the Father nor with his Mother, neither God nor man. "Christ" names the hypostasis, compound of two natures. The heretics take nature and hypostasis for the same: there is one human nature because many hypostases share it, but there is no species of Christs. So the union is neither by mixture, as Dioscorus, Eutyches, and Severus say, nor by relation, as Nestorius, Diodore, and Theodore say, but by hypostasis, each nature keeping its difference; so the Lord of glory is said to be crucified.

Ἀτρέπτως γάρ, καὶ ἀναλλοιώτως ἡνώθησαν ἀλλήλαις
unchangeably for and unalterably were-united with-one-another
αἱ φύσεις, μήτε τῆς θείας φύσεως ἐκστάσης τῆς
the natures neither the divine nature having-departed-from the
οἰκείας ἁπλότητος, μήτε μὴν τῆς ἀνθρωπίνης, ἢ
own simplicity nor indeed the human either
τραπείσης εἰς θεότητος φύσιν, ἢ εἰς ἀνυπαρξίαν
having-been-changed into of-divinity nature or into non-existence
χωρησάσης, μήτε ἐκ τῶν δύο μιᾶς γεγενημένης συνθέτου
having-gone nor from the two one having-come-to-be compound
φύσεως. Ἡ γὰρ σύνθετος φύσις, οὐδ' ὁποτέρᾳ τῶν ἐξ
nature the for compound nature not to-either of-the from
ὧν συνετέθη φύσεων ὁμοούσιος ὑπάρχειν δύναται, ἐξ
which it-was-compounded natures consubstantial to-be can from
ἑτέρων ἀποτελεσθεῖσα ἕτερον· οἷον τὸ σῶμα τὸ
others having-been-produced (as)-another as-for-instance the body the(-one)
ἐκ τῶν τεσσάρων στοιχείων συντεθειμένον, οὔτε τῷ
from the four elements compounded neither with-the
πυρὶ λέγεται ὁμοούσιον, οὔτε πῦρ ὀνομάζεται, οὔτε ἀὴρ
fire is-said consubstantial nor fire is-named nor air

λέγεται, οὔτε ὕδωρ, οὔτε γῇ, οὐδέ τινι τούτων ἐστὶν
is-called nor water nor earth nor with-any of-these is
ὁμοούσιον. Εἰ τοίνυν κατὰ τοὺς αἱρετικούς, μιᾶς φύσεως
consubstantial if then according-to the heretics of-one nature
συνθέτου ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν ἐχρημάτισεν, ἐξ
compound — Christ after the union was-designated from
ἁπλῆς φύσεως ἐτράπη εἰς σύνθετον, καὶ οὔτε τῷ
simple nature he-was-changed into compound and neither with-the
Πατρὶ ἁπλῆς φύσεως ὄντι ἐστὶν ὁμοούσιος, οὔτε τῇ
Father of-simple nature being he-is consubstantial nor with-the
Μητρί. Οὐ γὰρ ἐκ θεότητος καὶ ἀνθρωπότητος αὕτη
Mother not for from divinity and humanity this(-nature)
συντέθειται· οὔτε μὴν ἐν θεότητί ἐστι καὶ ἀνθρωπότητι·
has-been-compounded nor indeed in divinity he-is and humanity
οὔτε δὲ Θεὸς ὀνομασθήσεται, οὐδὲ ἄνθρωπος, ἀλλὰ Χριστὸς
nor and God he-will-be-named nor man but Christ
μόνον· καὶ ἔσται τό, Χριστός, οὐ τῆς ὑποστάσεως
only and will-be the(-name) Christ not of-the hypostasis
ὄνομα, ἀλλὰ τῆς μιᾶς κατ᾽ αὐτοὺς φύσεως.
(the)-name but of-the one according-to them nature
Ἡμεῖς δέ, οὐ συνθέτου φύσεως τὸν Χριστὸν δογματίζομεν,
we but not of-compound nature — Christ declare
οὐδὲ ἐξ ἑτέρων ἕτερον, ὥσπερ ἐκ ψυχῆς καὶ σώματος
nor from others another as from soul and body
ἄνθρωπον, ἢ ὡς ἐκ τεσσάρων στοιχείων σῶμα, ἀλλ᾽ ἐξ
(a)-man or as from four elements (a)-body but from
ἑτέρων τὰ αὐτά· ἐκ θεότητος γὰρ καὶ ἀνθρωπότητος Θεὸν
others the same from divinity for and humanity God
τέλειον, τὸν αὐτόν, καὶ εἶναι, καὶ λέγεσθαι, ἐκ δύο τε,
perfect the same both to-be and to-be-called from two both
καὶ ἐν δυσὶ φύσεσιν ὁμολογοῦμεν. Τὸ δέ, Χριστός, ὄνομα
and in two natures we-confess the and Christ name

τῆς ὑποστάσεως λέγομεν, οὐ μονοτρόπως λεγόμενον, ἀλλὰ
of-the hypostasis we-say not in-one-way said but
τῶν δύο φύσεων ὑπάρχον σημαντικόν. Αὐτὸς γὰρ ἑαυτὸν
of-the two natures being indicative he for himself
ἔχρισε· χρίων μὲν ὡς Θεὸς τὸ σῶμα τῇ θεότητι αὐτοῦ,
anointed anointing indeed as God the body with-the divinity his
χριόμενος δέ, ὡς ἄνθρωπος· αὐτὸς γάρ ἐστι τοῦτο κἀκεῖνο.
being-anointed but as man he for is this and-that
Χρίσις δὲ ἡ θεότης τῆς ἀνθρωπότητος. Εἰ γὰρ μιᾶς
(the)-anointing and (is)-the divinity of-the humanity if for of-one
φύσεως συνθέτου ὢν ὁ Χριστός, ὁμοούσιός ἐστι τῷ
nature compound being — Christ consubstantial is with-the
Πατρί, ἔσται ἄρα καὶ ὁ Πατὴρ σύνθετος, καὶ τῇ σαρκὶ
Father will-be then also the Father compound and with-the flesh
ὁμοούσιος, ὅπερ ἄτοπον, καὶ πάσης βλασφημίας ἀνάπλεον.
consubstantial which (is)-absurd and of-all blasphemy full
Πῶς δὲ καὶ μία φύσις τῶν ἐναντίων οὐσιωδῶν διαφορῶν
how and also one nature of-the contrary substantial differences
δεκτικὴ γενήσεται; Πῶς γὰρ δυνατὸν τὴν αὐτὴν φύσιν
receptive will-become how for (is-it)-possible the same nature
κατὰ ταὐτὸν κτιστὴν εἶναι καὶ ἄκτιστον, θνητὴν καὶ
at the-same(-time) created to-be and uncreated mortal and
ἀθάνατον, περιγραπτὴν καὶ ἀπερίγραπτον;
immortal circumscribable and uncircumscribable
Εἰ δὲ μιᾶς λέγοντες τὸν Χριστὸν φύσεως, ἁπλῆν
if and of-one saying — Christ nature simple
ταύτην εἴποιεν, ἢ γυμνὸν αὐτὸν Θεὸν ὁμολογήσουσι,
this they-should-call either bare him God they-will-confess
καὶ φαντασίαν εἰσάξουσιν, οὐκ ἐνανθρώπησιν, ἢ ψιλὸν
and illusion they-will-introduce not becoming-man or mere
ἄνθρωπον κατὰ Νεστόριον. Καὶ ποῦ τό, ἐν θεότητι
man according-to Nestorius and where (is)-the in divinity

τέλειον, καὶ τὸ ἐν ἀνθρωπότητι τέλειον; Πότε δὲ καὶ
perfect and the in humanity perfect when and also
δύο τὸν Χριστὸν λέξουσι φύσεων, μιᾶς συνθέτου φύσεως
of-two — Christ will-they-say natures of-one compound nature
αὐτὸν μετὰ τὴν ἕνωσιν λέγοντες; Ὅτι γὰρ μιᾶς ὁ
him after the union saying that for of-one —
Χριστὸς φύσεως πρὸ τῆς ἑνώσεως, παντί που δῆλον.
Christ nature before the union to-everyone surely (is)-evident
Ἀλλὰ τοῦτό ἐστι τὸ ποιοῦν τοῖς αἱρετικοῖς τὴν
but this is the(-thing) causing for-the heretics the
πλάνην, τὸ ταὐτὸ λέγειν τὴν φύσιν, καὶ τὴν ὑπόστασιν.
error the the-same to-call the nature and the hypostasis
Ἐπειδὴ δὲ μίαν τῶν ἀνθρώπων φύσιν φαμέν, ἰστέον
since and one of-the men nature we-say (one)-must-know
ὡς οὐκ ἀφορῶντες εἰς τὸν τῆς ψυχῆς καὶ τοῦ σώματος
that not looking to the of-the soul and of-the body
λόγον, τοῦτο λέγομεν· ἀδύνατον γὰρ μιᾶς φύσεως λέγειν
account this we-say (it-is)-impossible for of-one nature to-call
τὴν ψυχὴν καὶ τὸ σῶμα πρὸς ἄλληλα συγκρινόμενα.
the soul and the body to one-another compared
Ἀλλ' ἐπειδὴ πλεῖσταις ὑποστάσεις τῶν ἀνθρώπων εἰσί,
but since very-many hypostases of-the men are
πάντες δὲ τὸν αὐτὸν ἐπιδέχονται λόγον τῆς φύσεως·
all and the same admit account of-the nature
πάντες γὰρ ἐκ ψυχῆς εἰσι συντεθειμένοι, καὶ σώματος,
all for from soul are compounded and body
καὶ πάντες τῆς φύσεως τῆς ψυχῆς μετειλήφασι, καὶ τὴν
and all of-the nature of-the soul have-partaken and the
οὐσίαν τοῦ σώματος κέκτηνται, καὶ τὸ κοινὸν εἶδος· τῶν
substance of-the body possess and the common form of-the
πλείστων καὶ διαφόρων ὑποστάσεων μίαν φύσιν φαμέν·
very-many and different hypostases one nature we-say

ἑκάστης δηλαδὴ ὑποστάσεως δύο φύσεις ἐχούσης, καὶ ἐν
each evidently hypostasis two natures having and in
δυσὶ τελούσης ταῖς φύσεσι, ψυχῆς λέγω, καὶ σώματος.
two being-completed the natures of-soul I-mean and of-body
Ἐπὶ δὲ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὐκ ἔστι
in-the-case-of but the Lord our Jesus Christ not (it-is-possible)
κοινὸν εἶδος λαβεῖν. Οὔτε γὰρ ἐγένετο, οὐδέ ἐστιν,
(a)-common form to-take neither for came-to-be nor is
οὔτε ποτὲ γενήσεται ἄλλος Χριστὸς ἐκ θεότητός τε
nor ever will-come-to-be another Christ from divinity both
καὶ ἀνθρωπότητος, ἐν θεότητι καὶ ἀνθρωπότητι, Θεὸς
and humanity in divinity and humanity God
τέλειος ὁ αὐτός, καὶ ἄνθρωπος τέλειος. Ἐντεῦθεν οὐκ
perfect the same and man perfect hence not
ἔστιν εἰπεῖν μίαν φύσιν ἐπὶ τοῦ Κυρίου ἡμῶν
(it-is-possible) to-say one nature in-the-case-of the Lord our
Ἰησοῦ Χριστοῦ, ὥσπερ ἐπὶ τοῦ ἀτόμου ἐκ ψυχῆς καὶ
Jesus Christ as in-the-case-of the individual from soul and
σώματος συγκειμένου, οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ ἐκ
body compounded so also in-the-case-of — Christ from
θεότητος καὶ ἀνθρωπότητος. Ἐκεῖ μὲν γὰρ ἄτομον, ὁ
divinity and humanity there indeed for (is-an)-individual —
δὲ Χριστὸς οὐκ ἄτομον· οὐδὲ γὰρ ἔχει κατηγορούμενον
but Christ (is)-not (an)-individual nor for he-has predicated
εἶδος Χριστότητος. Διὸ δὴ ἐκ δύο φύσεων τελείων,
species of-Christhood therefore indeed from two natures perfect
θείας τε καὶ ἀνθρωπίνης, φαμὲν γεγενῆσθαι τὴν ἕνωσιν·
divine both and human we-say to-have-come-about the union
οὐ κατὰ φυρμόν, ἢ σύγχυσιν, ἢ σύγκρασιν, ἢ ἀνάκρασιν,
not by mixing or confusion or blending or commingling
ὡς ὁ θεήλατος ἔφη Διόσκορος, Εὐτυχής τε, καὶ Σευῆρος,
as the God-driven said Dioscorus Eutyches both and Severus

καὶ ἡ τούτων ἐναγὴς συμμορία· οὐδὲ προσωπικήν, ἢ
and the of-these accursed gang nor personal or
σχετικήν, ἢ κατ᾽ ἀξίαν, ἢ ταυτοβουλίαν, ἢ ὁμοτιμίαν, ἢ
relational or by dignity or identity-of-will or equality-of-honor or
ὁμωνυμίαν, ἢ εὐδοκίαν, ὡς ὁ θεοστυγὴς ἔφη Νεστόριος,
sameness-of-name or good-pleasure as the God-hated said Nestorius
Διόδωρός τε, καὶ ὁ Μοψουεστίας Θεόδωρος, καὶ ἡ τούτων
Diodore both and the of-Mopsuestia Theodore and the of-these
δαιμονιώδης ὁμήγυρις, ἀλλὰ κατὰ σύνθεσιν, ἤγουν καθ᾽
demonic assembly but by composition that-is according-to
ὑπόστασιν, ἀτρέπτως, καὶ ἀσυγχύτως, καὶ ἀναλλοιώτως,
hypostasis unchangeably and unconfusedly and unalterably
καὶ ἀδιαιρέτως, καὶ ἀδιαστάτως, καὶ ἐν δυσὶ φύσεσι τελείως
and indivisibly and inseparably and in two natures perfectly
ἐχούσαις, μίαν ὑπόστασιν ὁμολογοῦμεν τοῦ Υἱοῦ τοῦ
being one hypostasis we-confess of-the Son —
Θεοῦ, καὶ σεσαρκωμένου, τὴν αὐτὴν ὑπόστασιν λέγοντες
of-God also incarnate the same hypostasis saying
τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος αὐτοῦ, καὶ τὰς δύο
of-the divinity and of-the humanity his and the two
φύσεις ὁμολογοῦντες σώζεσθαι ἐν αὐτῷ μετὰ τὴν ἕνωσιν·
natures confessing to-be-preserved in him after the union
οὐκ ἰδίᾳ καὶ ἀναμέρος τιθέντες ἑκάστην, ἀλλ᾽ ἡνωμένας
not separately and apart placing each but united
ἀλλήλαις ἐν τῇ μιᾷ συνθέτῳ ὑποστάσει. Οὐσιώδη γάρ
with-one-another in the one compound hypostasis substantial for
φαμεν τὴν ἕνωσιν, τουτέστιν ἀληθῆ, καὶ οὐ κατὰ φαντασίαν.
we-call the union that-is true and not by appearance
Οὐσιώδη δέ, οὐχ ὡς τῶν δύο φύσεων ἀποτελεσασῶν
substantial but not as of-the two natures having-produced
μίαν σύνθετον φύσιν, ἀλλ᾽ ἑνωθεισῶν ἀλλήλαις κατ᾽
one compound nature but having-been-united with-one-another in

ἀλήθειαν εἰς μίαν ὑπόστασιν σύνθετον τοῦ Υἱοῦ τοῦ Θεοῦ,
truth into one hypostasis compound of-the Son — of-God
καὶ σώζεσθαι αὐτῶν τὴν οὐσιώδη διαφορὰν ὁριζόμεθα. Τὸ
and to-be-preserved their the substantial difference we-define the
γὰρ κτιστόν, μεμένηκε κτιστόν, καὶ τὸ ἄκτιστον, ἄκτιστον.
for created has-remained created and the uncreated uncreated
Τὸ θνητὸν ἔμεινε θνητόν, καὶ τὸ ἀθάνατον, ἀθάνατον· τὸ
the mortal remained mortal and the immortal immortal the
περιγραπτόν, περιγραπτόν· τὸ ἀπερίγραπτον, ἀπερίγραπτον·
circumscribable circumscribable the uncircumscribable uncircumscribable
τὸ ὁρατόν, ὁρατόν, καὶ τὸ ἀόρατον, ἀόρατον· «Τὸ μὲν
the visible visible and the invisible invisible the indeed
διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν.»
shines-forth in-the miracles the but to-the insults has-become-subject
Οἰκειοῦται δὲ τὰ ἀνθρώπινα ὁ Λόγος· αὐτοῦ γάρ ἐστι
appropriates and the human(-things) the Word his for are
τὰ τῆς ἁγίας αὐτοῦ σαρκὸς ὄντα· καὶ μεταδίδωσι τῇ
the(-things) of-the holy his flesh being and imparts to-the
σαρκὶ τῶν ἰδίων, κατὰ τὸν ἀντιδόσεως τρόπον, διὰ
flesh of-the own(-things) according-to the of-exchange manner because-of
τὴν εἰς ἄλληλα τῶν μερῶν περιχώρησιν, καὶ τὴν καθ᾽
the into one-another of-the parts interpenetration and the according-to
ὑπόστασιν ἕνωσιν, καὶ ὅτι εἷς ἦν, καὶ ὁ αὐτός, ὁ καὶ
hypostasis union and that one was and the same the(-one) both
τὰ θεῖα καὶ τὰ ἀνθρώπινα «ἐνεργῶν ἐν ἑκατέρᾳ μορφῇ
the divine and the human(-things) performing in each form
μετὰ τῆς θατέρου κοινωνίας.» Διὸ δὴ καὶ ὁ Κύριος
with the of-the-other communion therefore indeed also the Lord
τῆς δόξης ἐσταυρῶσθαι λέγεται, καίτοι τῆς θείας αὐτοῦ
of-the glory to-have-been-crucified is-said although the divine his
μὴ παθούσης φύσεως, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου, πρὸ
not having-suffered nature and the Son of-the man before

τοῦ πάθους ἐν τῷ οὐρανῷ εἶναι ὡμολόγηται, ὡς αὐτὸς ὁ
the passion in the heaven to-be is-confessed as himself the
Κύριος ἔφησεν. Εἷς γὰρ ἦν, καὶ ὁ αὐτὸς ὁ Κύριος τῆς
Lord said one for was and the same the Lord of-the
δόξης, ὁ φύσει καὶ ἀληθείᾳ Υἱὸς ἀνθρώπου, ἤτοι
glory the(-one) by-nature and in-truth Son of-man that-is
ἄνθρωπος γενόμενος, καὶ αὐτοῦ τά τε θαύματα καὶ τὰ
man having-become and his the both miracles and the
πάθη γινώσκομεν, εἰ καὶ κατ᾽ ἄλλο ἐθαυματούργει,
sufferings we-know if even in another(-respect) he-worked-wonders
καὶ κατ᾽ ἄλλο τὰ πάθη ὁ αὐτὸς ὑπέμενεν. Ἴσμεν
and in another(-respect) the sufferings the same endured we-know
γὰρ ὥσπερ μίαν αὐτοῦ τὴν ὑπόστασιν, οὕτω τὴν τῶν
for as one his the hypostasis so the of-the
φύσεων οὐσιώδη διαφορὰν σώζεσθαι. Πῶς δὲ σωθείη
natures substantial difference to-be-preserved how and could-be-preserved
διαφορά, μὴ σωζομένων τῶν τὴν διαφορὰν ἐχόντων
(a)-difference not being-preserved the(-things) the difference having
πρὸς ἄλληλα; Διαφορὰ γὰρ τῶν διαφερόντων ἐστὶ
toward one-another difference for of-the(-things) differing is
διαφορά· τῷ μὲν οὖν λόγῳ, ᾧ διαφέρουσιν ἀλλήλων
(the)-difference by-the indeed then reason in-which differ from-one-another
αἱ φύσεις τοῦ Χριστοῦ, τουτέστι τῷ λόγῳ τῆς οὐσίας,
the natures — of-Christ that-is by-the reason of-the substance
φαμὲν συνάπτεσθαι αὐτὸν τοῖς ἄκροις· κατὰ μὲν τὴν
we-say to-be-joined him to-the extremes according-to indeed the
θεότητα, τῷ τε Πατρὶ καὶ τῷ Πνεύματι, κατὰ δὲ τὴν
divinity to-the both Father and to-the Spirit according-to but the
ἀνθρωπότητα, τῇ τε Μητρί, καὶ πᾶσι τοῖς ἀνθρώποις.
humanity to-the both Mother and all the men
Ὧ δὲ λόγῳ συνάπτονται αἱ φύσεις αὐτοῦ, διαφέρειν
by-what but reason are-joined the natures his to-differ

αὐτὸν φαμὲν τοῦ τε Πατρὸς καὶ τοῦ Πνεύματος, τῆς
him we-say from-the both Father and the Spirit from-the
τε Μητρὸς καὶ τῶν λοιπῶν ἀνθρώπων· συνάπτονται γὰρ
both Mother and the other men are-joined for
αἱ φύσεις αὐτοῦ τῇ ὑποστάσει, μίαν ὑπόστασιν σύνθετον
the natures his in-the hypostasis one hypostasis compound
ἔχουσαι, καθ' ἣν διαφέρει τοῦ τε Πατρὸς καὶ τοῦ
having according-to which he-differs from-the both Father and the
Πνεύματος, τῆς τε Μητρὸς καὶ ἡμῶν.
Spirit from-the both Mother and us

Περὶ τοῦ τρόπου τῆς ἀντιδόσεως

XLVIII · THE MANNER OF THE EXCHANGE

Substance signifies the common form, hypostasis the individual. "Divinity" and "humanity" name the natures, while "God" and "man" can name a nature or a hypostasis. Christ is named from both natures together or from either. We do not give one nature's properties to the other, calling the divinity passible, but we give both to the hypostasis: God is called passible and the Lord of glory crucified, and the man uncreated. This is the exchange, made by the identity of the hypostasis and the interpenetration of the natures.

Ὅτι μὲν οὖν ἕτερόν ἐστιν οὐσία, ἕτερον ὑπόστασις,
that indeed then other is substance other hypostasis
πλειστάκις εἰρήκαμεν, καὶ ὅτι ἡ μὲν οὐσία, τὸ κοινὸν
very-often we-have-said and that the indeed substance the common
καὶ περιεκτικὸν εἶδος τῶν ὁμοειδῶν ὑποστάσεων σημαίνει,
and comprehensive form of-the of-like-form hypostases signifies
οἷον, Θεός, ἄνθρωπος, ἡ δὲ ὑπόστασις, ἄτομον
as-for-instance God man the but hypostasis (the)-individual
δηλοῖ, ἤτοι Πατέρα, Υἱόν, Πνεῦμα ἅγιον, Πέτρον, Παῦλον.
shows that-is Father Son Spirit holy Peter Paul

Ἰστέον τοίνυν, ὅτι τὸ μὲν τῆς θεότητος καὶ τῆς
(one)-must-know then that the indeed of-the divinity and of-the
ἀνθρωπότητος ὄνομα τῶν οὐσιῶν, ἤτοι τῶν φύσεών
humanity name of-the substances that-is of-the natures
ἐστι παραστατικόν· τὸ δὲ Θεὸς καὶ ἄνθρωπος, καὶ ἐπὶ
is indicative the but God and man also of
τῆς φύσεως τάττεται, ὥσπερ ὅταν λέγωμεν, Θεός ἐστιν
the nature is-placed as when we-say God is
ἀκατάληπτος οὐσία, καὶ ὅτι εἷς Θεός· λαμβάνεται δέ, καὶ
(an)-incomprehensible substance and that one (is)-God it-is-taken and also
ἐπὶ τῶν ὑποστάσεων, ὡς τοῦ μερικωτέρου δεχομένου τὸ τοῦ
of the hypostases as of-the more-particular receiving the of-the
καθολικωτέρου ὄνομα, ὡς ὅταν φησὶν ἡ Γραφή· Διὰ τοῦτο
more-universal name as when says the Scripture for this
ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου· Ἰδοὺ γὰρ τὸν Πατέρα καὶ
anointed you — God — God your behold for the Father and
τὸν Υἱὸν ἐδήλωσε· καὶ ὡς ὅταν λέγει· Ἄνθρωπός τις
the Son it-showed and as when it-says (a)-man (a)-certain
ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι· τὸν γὰρ Ἰὼβ μόνον ἐδήλωσεν.
was in (the)-land the Ausitis — for Job only it-showed
Ἐπὶ οὖν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐπειδὴ δύο
in-the-case-of then the Lord our Jesus Christ since two
μὲν τὰς φύσεις γινώσκομεν, μίαν δὲ τὴν ὑπόστασιν ἐξ
indeed the natures we-know one but the hypostasis from
ἀμφοτέρων σύνθετον, ὅτε μὲν τὰς φύσεις ἀναθεωροῦμεν,
both compound when indeed the natures we-contemplate
θεότητα καὶ ἀνθρωπότητα καλοῦμεν, ὅτε δὲ τὴν ἐκ
divinity and humanity we-call(-them) when but the from
τῶν φύσεων συντεθεῖσαν ὑπόστασιν, ποτὲ μὲν ἐκ
the natures compounded hypostasis sometimes indeed from
τοῦ συναμφοτέρου Χριστὸν ὀνομάζομεν, καὶ Θεόν, καὶ
the both-together Christ we-name(-him) both God and

ἄνθρωπον κατὰ ταυτόν, καὶ Θεὸν σεσαρκωμένον, ποτὲ
man at the-same(-time) and God incarnate sometimes
δὲ ἐξ ἑνὸς τῶν μερῶν, Θεὸν μόνον, καὶ Υἱὸν τοῦ Θεοῦ,
but from one of-the parts God only and Son — of-God
καὶ ἄνθρωπον μόνον, καὶ Υἱὸν ἀνθρώπου· καὶ ποτὲ
and man only and Son of-man and sometimes
μὲν ἐκ τῶν ὑψηλῶν μόνον, ποτὲ δὲ ἐκ τῶν ταπεινῶν
indeed from the lofty(-things) only sometimes but from the lowly(-things)
μόνον· εἷς γάρ ἐστιν ὁ κἀκεῖνο καὶ τοῦτο ὁμοίως
only one for is the(-one) both-that and this alike
ὑπάρχων· τὸ μὲν ὢν ἀεὶ ἀναιτίως ἐκ Πατρός, τὸ δὲ
being the indeed being always without-cause from (the)-Father the but
γενόμενος ὕστερον διὰ φιλανθρωπίαν.
having-become later because-of love-for-mankind
Θεότητα μὲν οὖν λέγοντες, οὐ κατονομάζομεν αὐτῆς τὰ τῆς
divinity indeed then saying not we-name-on it the of-the
ἀνθρωπότητος ἰδιώματα. Οὐ γὰρ φαμὲν θεότητα παθητήν,
humanity properties not for we-say divinity passible
ἢ κτιστήν· οὔτε δὲ τῆς σαρκός, ἤτοι τῆς ἀνθρωπότητος
or created nor and of-the flesh that-is of-the humanity
κατηγοροῦμεν τὰ τῆς θεότητος ἰδιώματα· οὐ γὰρ φαμὲν
we-predicate the of-the divinity properties not for we-say
σάρκα, ἤτοι ἀνθρωπότητα ἄκτιστον. Ἐπὶ δὲ τῆς
flesh that-is humanity uncreated in-the-case-of but the
ὑποστάσεως, κἂν ἐκ τοῦ συναμφοτέρου, κἂν ἐξ ἑνὸς
hypostasis whether from the both-together or from one
τῶν μερῶν ταύτην ὀνομάσωμεν, ἀμφοτέρων τῶν φύσεων
of-the parts this(-one) we-name of-both the natures
τὰ ἰδιώματα αὐτῇ ἐπιτίθεμεν. Καὶ γὰρ ὁ Χριστός, ὅπερ
the properties on-it we-place and for — Christ which
ἐστὶ τὸ συναμφότερον, καὶ Θεός, καὶ ἄνθρωπος λέγεται,
is the both-together both God and man is-called

καὶ κτιστὸς καὶ ἄκτιστος, καὶ παθητὸς καὶ ἀπαθής· καὶ
and created and uncreated and passible and impassible and
ὅταν ἐξ ἑνὸς τῶν μερῶν, Υἱὸς Θεοῦ, καὶ Θεὸς ὀνομάζηται,
when from one of-the parts Son of-God and God he-is-named
δέχεται τὰ τῆς συνυφεστηκυίας φύσεως ἰδιώματα, ἤτοι τῆς
he-receives the of-the co-subsisting nature properties that-is of-the
σαρκός, Θεὸς παθητὸς ὀνομαζόμενος, καὶ Κύριος τῆς δόξης
flesh God passible being-named and (the)-Lord of-the glory
ἐσταυρωμένος· οὐ καθὸ Θεός, ἀλλὰ καθὸ καὶ ἄνθρωπος ὁ
crucified not as God but as also man the
αὐτός· καὶ ὅταν ἄνθρωπος, καὶ Υἱὸς ἀνθρώπου ὀνομάζηται,
same and when man and Son of-man he-is-named
δέχεται τὰ τῆς θείας φύσεως ἰδιώματα, καὶ αὐχήματα,
he-receives the of-the divine nature properties and glories
παιδίον προαιώνιον, ἄνθρωπος ἄναρχος· οὐ καθὸ παιδίον,
(a)-child pre-eternal (a)-man without-beginning not as child
καὶ ἄνθρωπος, ἀλλὰ καθὸ Θεὸς ὢν προαιώνιος, γέγονεν
and man but as God being pre-eternal he-became
ἐπ᾽ ἐσχάτων παιδίον. Καὶ οὗτός ἐστιν ὁ τρόπος τῆς
at (the)-last (a)-child and this is the mode of-the
ἀντιδόσεως, ἑκατέρας φύσεως ἀντιδιδούσης τῇ ἑτέρᾳ
exchange each nature exchanging with-the other
τὰ ἴδια διὰ τὴν τῆς ὑποστάσεως ταυτότητα, καὶ
the(-things) proper because-of the of-the hypostasis identity and
τὴν εἰς ἄλληλα αὐτῶν περιχώρησιν. Κατὰ τοῦτο δυνάμεθα
the into one-another their interpenetration according-to this we-can
εἰπεῖν περὶ Χριστοῦ· Οὗτος ὁ Θεὸς ἡμῶν, ἐπὶ τῆς γῆς
say about Christ this(-one) — God our upon the earth
ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· καί, Ὁ ἄνθρωπος
was-seen and with-the men conversed and the man
οὗτος ἄκτιστός ἐστι, καὶ ἀπαθής, καὶ ἀπερίγραπτος.
this uncreated is and impassible and uncircumscribable

Περὶ ἀριθμοῦ τῶν φύσεων

XLIX · THE NUMBER OF THE NATURES

As in the divinity we confess one nature and three hypostases, distinct by their properties and united without confusion, so in Christ we confess two natures, divine and human, united in one compound hypostasis and preserved after the union with their properties, numbered without being divided. Number signifies only the quantity of what is counted, as fifty stones are fifty whether in a wall or scattered on the plain, and the fire and the wood in a live coal are two natures. As the three hypostases cannot be called one hypostasis, the two natures cannot be called one nature without confusing and abolishing their difference.

Ὥσπερ δὲ ἐπὶ τῆς θεότητος, μίαν μὲν φύσιν
as and in-the-case-of the divinity one indeed nature
ὁμολογοῦμεν, τρεῖς δὲ ὑποστάσεις κατ᾽ ἀλήθειαν οὔσας
we-confess three but hypostases in truth being
φαμέν, καὶ πάντα μὲν τὰ φυσικὰ καὶ οὐσιώδη, ἁπλᾶ
we-say and all indeed the natural and substantial(-things) simple
φαμεν, τὴν δὲ διαφορὰν τῶν ὑποστάσεων ἐν μόναις ταῖς
we-say the but difference of-the hypostases in only the
τρισὶν ἰδιότησι, τῇ ἀναιτίῳ καὶ πατρικῇ καὶ τῇ αἰτιατῇ
three properties the uncaused and paternal and the caused
καὶ υἱϊκῇ, καὶ τῇ αἰτιατῇ καὶ ἐκπορευτῇ ἐπιγινώσκομεν·
and filial and the caused and proceeding we-recognize
ἀνεκφοιτήτους δὲ αὐτάς, καὶ ἀδιαστάτους ἀλλήλων,
not-departing and them and inseparable from-one-another
καὶ ἡνωμένας, καὶ ἐν ἀλλήλαις ἀσυγχύτως περιχωρούσας
and united and in one-another unconfusedly interpenetrating
ἐπιστάμεθα· καὶ ἡνωμένας μὲν ἀσυγχύτως· τρεῖς γάρ
we-know and united indeed unconfusedly three for
εἰσιν, εἰ καὶ ἥνωνται· διαιρουμένας δὲ ἀδιαστάτως. Εἰ
they-are if even they-are-united divided but inseparably if

γὰρ καὶ ἑκάστη καθ' ἑαυτὴν ὑφέστηκεν, ἤγουν τελεία
for even each by itself subsists that-is perfect
ἐστὶν ὑπόστασις, καὶ τὴν οἰκείαν ἰδιότητα, ἤτοι τὸν
is hypostasis and the own property that-is the
τῆς ὑπάρξεως τρόπον διάφορον κέκτηται, ἀλλ' ἥνωνται
of-the existence mode different possesses yet they-are-united
τῇ τε οὐσίᾳ καὶ τοῖς φυσικοῖς ἰδιώμασι, καὶ τῷ μὴ
in-the both substance and the natural properties and in-the not
διΐστασθαι, μηδὲ ἐκφοιτᾷν τῆς πατρικῆς ὑποστάσεως, καὶ
to-stand-apart nor to-depart-from the paternal hypostasis and
εἷς Θεός εἰσί τε, καὶ λέγονται· τὸν αὐτὸν τρόπον καὶ
one God they-are both and are-called in-the same way also
ἐπὶ τῆς θείας καὶ ἀπορρήτου, καὶ πάντα νοῦν, καὶ
in-the-case-of the divine and ineffable and all mind and
κατάληψιν ὑπερεχούσης οἰκονομίας, τοῦ ἑνὸς τῆς ἁγίας
comprehension surpassing dispensation of-the one of-the holy
Τριάδος Θεοῦ Λόγου, Κυρίου τε ἡμῶν Ἰησοῦ Χριστοῦ,
Trinity God Word Lord both our Jesus Christ
δύο μὲν φύσεις ὁμολογοῦμεν, θείαν τε καὶ ἀνθρωπίνην,
two indeed natures we-confess divine both and human
συνεληλυθυίας ἀλλήλαις, καὶ καθ' ὑπόστασιν ἑνωθείσας,
having-come-together with-one-another and according-to hypostasis united
μίαν δὲ τὴν ὑπόστασιν ἐκ τῶν φύσεων ἀποτελεσθεῖσαν
one but the hypostasis from the natures produced
σύνθετον· σώζεσθαι δέ φαμεν τὰς δύο φύσεις, καὶ μετὰ
compound to-be-preserved and we-say the two natures also after
τὴν ἕνωσιν, ἐν τῇ μιᾷ συνθέτῳ ὑποστάσει, ἤγουν ἐν
the union in the one compound hypostasis that-is in
τῷ ἑνὶ Χριστῷ, καὶ κατ' ἀλήθειαν αὐτὰς εἶναι, καὶ τὰ
the one Christ and in truth them to-be and the
τούτων φυσικὰ ἰδιώματα· ἡνωμένας μέντοι ἀσυγχύτως,
of-these natural properties united however unconfusedly

καὶ ἀδιαιρέτως διαφερούσας τε, καὶ ἀριθμουμένας. Καὶ
and indivisibly differing both and being-numbered and
ὥσπερ αἱ τρεῖς ὑποστάσεις τῆς ἁγίας Τριάδος ἀσυγχύτως
as the three hypostases of-the holy Trinity unconfusedly
τε ἥνωνται, καὶ ἀδιαιρέτως διῄρηνται. καὶ ἀριθμοῦνται,
both are-united and indivisibly are-divided and are-numbered
καὶ ὁ ἀριθμὸς διαίρεσιν, ἢ διάστασιν, ἢ ἀλλοτρίωσιν,
and the number division or separation or alienation
καὶ διατομὴν ἐν αὐταῖς οὐκ ἐργάζεται· ἕνα γὰρ Θεὸν
and cutting in them not produces one for God
ἐπιγινώσκομεν τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ Πνεῦμα
we-recognize the Father and the Son and the Spirit
τὸ ἅγιον· τὸν αὐτὸν τρόπον, καὶ αἱ τοῦ Χριστοῦ φύσεις,
the holy in-the same way also the — of-Christ natures
εἰ καὶ ἥνωνται, ἀλλ' ἀσυγχύτως ἥνωνται· καὶ εἰ ἐν
if even they-are-united yet unconfusedly they-are-united and if in
ἀλλήλαις περιχωροῦσιν, ἀλλὰ τὴν εἰς ἀλλήλας τροπήν
one-another they-interpenetrate yet the into one-another change
τε, καὶ μεταβολὴν οὐ προσίενται. Φυλάττει γὰρ ἑκατέρα
both and alteration not they-admit keeps for each
τὴν ἑαυτῆς φυσικὴν ἰδιότητα ἀμετάβλητον. Διὸ καὶ
the its-own natural property unchangeable therefore also
ἀριθμοῦνται, καὶ ὁ ἀριθμὸς οὐκ εἰσάγει διαίρεσιν. Εἷς
they-are-numbered and the number not introduces division one
γάρ ἐστιν ὁ Χριστός, ἔν τε θεότητι καὶ ἀνθρωπότητι
for is — Christ in both divinity and humanity
τέλειος· ὁ γὰρ ἀριθμός, οὐ διαιρέσεως, ἢ ἑνώσεως αἴτιος
perfect the for number not of-division or of-union (the)-cause
πέφυκεν, ἀλλὰ τῆς ποσότητος τῶν ἀριθμουμένων
is-of-a-nature but of-the quantity of-the(-things) numbered
σημαντικός, εἴτε ἡνωμένων, εἴτε διῃρημένων· ἡνωμένων
indicative whether united or divided united

μέν, ὡς ὅτι πεντήκοντα λίθους ἔχει ὁ τοῖχος οὗτος·
indeed as that fifty stones has the wall this
διῃρημένων δέ, ὡς ὅτι πεντήκοντα λίθοι κεῖνται ἐν τῷ
divided but as that fifty stones lie in the
πεδίῳ τούτῳ· καὶ ἡνωμένων μέν, ὅτι δύο φύσεις εἰσὶν ἐν
plain this and united indeed that two natures are in
τῷ ἄνθρακι, πυρὸς λέγω καὶ ξύλου· διῃρημένων δέ, ὅτι
the coal of-fire I-mean and of-wood divided but that
ἡ φύσις τοῦ πυρὸς ἑτέρα ἐστί, καὶ ἡ τοῦ ξύλου ἑτέρα·
the nature of-the fire other is and the of-the wood other
ἄλλου τρόπου ἑνοῦντος, καὶ διαιροῦντος αὐτά, καὶ οὐ τοῦ
another mode uniting and dividing them and not the
ἀριθμοῦ. Ὥσπερ τοίνυν ἀδύνατον τὰς τρεῖς ὑποστάσεις
number as therefore (it-is)-impossible the three hypostases
τῆς θεότητος, εἰ καὶ ἥνωνται ἀλλήλαις, μίαν ὑπόστασιν
of-the divinity if even they-are-united with-one-another one hypostasis
εἰπεῖν διὰ τὸ μὴ σύγχυσιν καὶ ἀφανισμὸν τῆς τῶν
to-call because-of the not confusion and obliteration of-the of-the
ὑποστάσεων διαφορᾶς ἐργάσασθαι, οὕτω καὶ τὰς δύο
hypostases difference to-produce so also the two
φύσεις τοῦ Χριστοῦ, τὰς καθ' ὑπόστασιν ἡνωμένας,
natures — of-Christ the according-to hypostasis united
ἀδύνατον μίαν φύσιν εἰπεῖν, ἵνα μὴ ἀφανισμόν, καὶ
(it-is)-impossible one nature to-call that not obliteration and
σύγχυσιν, καὶ ἀνυπαρξίαν τῆς αὐτῶν διαφορᾶς ἐργασώμεθα.
confusion and non-existence of-the their difference we-produce

Ὅτι πᾶσα ἡ θεία φύσις ἐν μιᾷ τῶν αὐτῆς ὑποστάσεων ἡνώθη πάσῃ τῇ ἀνθρωπίνῃ φύσει, καὶ οὐ μέρος μέρει

L · THE WHOLE DIVINE NATURE UNITED TO THE WHOLE HUMAN

The substance is whole in each hypostasis, so when one hypostasis suffers the nature is said to suffer in it, though not the others. So the whole divine nature, in the Son alone, was united to the whole human nature, for what is not assumed is not healed; the Father and the Spirit shared only by good pleasure. The Word was united to the flesh through the mind, which became the place of the divinity, against those who argue that a one-bushel measure cannot hold two bushels. Our whole nature rose and sat at the Father's right in Christ. "The nature of the Word incarnate" means the divinity united to flesh, and the human nature, not the divinity, suffered.

Τὰ κοινὰ καὶ καθολικὰ κατηγοροῦνται τῶν αὐτοῖς
the common and universal(-things) are-predicated of-the to-them
ὑποκειμένων μερικῶν. Κοινὸν τοίνυν ἡ οὐσία, ὡς εἶδος,
subject particulars common then (is)-the substance as form
μερικὸν δέ, ἡ ὑπόστασις. Μερικὸν δέ, οὐχ ὅτι μέρος
particular and the hypostasis particular and not because part
τῆς φύσεως ἔχει, μέρος δὲ οὐκ ἔχει, ἀλλὰ μερικὸν τῷ
of-the nature it-has part but not it-has but particular by-the
ἀριθμῷ, ὡς ἄτομον· ἀριθμῷ γάρ, καὶ οὐ φύσει διαφέρειν
number as individual in-number for and not in-nature to-differ
λέγονται αἱ ὑποστάσεις. Κατηγορεῖται δὲ ἡ οὐσία τῆς
are-said the hypostases is-predicated and the substance of-the
ὑποστάσεως, διότι ἐν ἑκάστῃ τῶν ὁμοειδῶν ὑποστάσεων
hypostasis because in each of-the of-like-form hypostases
τελεία ἡ οὐσία ἐστί. Διὸ οὐδὲ διαφέρουσιν ἀλλήλων
perfect the substance is therefore not-even differ from-one-another
αἱ ὑποστάσεις κατ᾽ οὐσίαν, ἀλλὰ κατὰ τὰ συμβεβηκότα,
the hypostases in substance but in the accidents
ἅτινά εἰσι τὰ χαρακτηριστικὰ ἰδιώματα· χαρακτηριστικὰ
which are the distinguishing properties distinguishing

δὲ ὑποστάσεως, καὶ οὐ φύσεως. Καὶ γὰρ τὴν ὑπόστασιν
but of-hypostasis and not of-nature and for the hypostasis
ὁρίζονται, οὐσίαν μετὰ συμβεβηκότων. Ὥστε τὸ κοινὸν
they-define (as)-substance with accidents so-that the common
μετὰ τοῦ ἰδιάζοντος ἔχει ἡ ὑπόστασις, καὶ τὸ καθ' ἑαυτὴν
with the particular has the hypostasis and the by itself
ὑπάρξαι· ἡ οὐσία δέ, καθ' ἑαυτὴν οὐχ ὑφίσταται, ἀλλ'
to-exist the substance but by itself not subsists but
ἐν ταῖς ὑποστάσεσι θεωρεῖται. Πασχούσης τοίνυν μιᾶς
in the hypostases is-contemplated suffering then one
τῶν ὑποστάσεων, πᾶσα ἡ οὐσία παθητὴ οὖσα, καθ' ἣν
of-the hypostases all the substance passible being in which
ἡ ὑπόστασις πέπονθε, πεπονθέναι λέγεται ἐν μιᾷ τῶν
the hypostasis has-suffered to-have-suffered is-said in one of-the
αὐτῆς ὑποστάσεων· οὐ μέντοιγε ἀνάγκη καὶ πάσας τὰς
its hypostases not however (it-is)-necessary also all the
ὁμοειδεῖς ὑποστάσεις συμπάσχειν τῇ πασχούσῃ ὑποστάσει.
of-like-form hypostases to-suffer-with the suffering hypostasis
Οὕτω τοίνυν ὁμολογοῦμεν τὴν τῆς θεότητος φύσιν, πᾶσαν
so then we-confess the of-the divinity nature all
τελείως εἶναι ἐν ἑκάστῃ τῶν αὐτῆς ὑποστάσεων, πᾶσαν ἐν
perfectly to-be in each of-the its hypostases all in
Πατρί, πᾶσαν ἐν Υἱῷ, πᾶσαν ἐν ἁγίῳ Πνεύματι· διὸ καὶ
Father all in Son all in holy Spirit therefore also
τέλειος Θεὸς ὁ Πατήρ, τέλειος Θεὸς ὁ Υἱός, τέλειος
perfect God (is)-the Father perfect God the Son perfect
Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον. Οὕτω καὶ ἐν τῇ ἐνανθρωπήσει
God the Spirit the holy so also in the becoming-man
τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος Θεοῦ Λόγου, φαμὲν πᾶσαν
of-the one of-the holy Trinity God Word we-say all
καὶ τελείαν τὴν φύσιν τῆς θεότητος ἐν μιᾷ τῶν αὐτῆς
and perfect the nature of-the divinity in one of-the its

ὑποστάσεων ἑνωθῆναι πάσῃ τῇ ἀνθρωπίνῃ φύσει, καὶ
hypostases to-have-been-united to-all the human nature and
οὐ μέρος μέρει. Φησὶ γοῦν ὁ θεῖος Ἀπόστολος, ὅτι Ἐν
not part to-part says at-any-rate the divine Apostle that in
αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς,
him dwells all the fullness of-the divinity bodily
τουτέστιν, ἐν τῇ σαρκὶ αὐτοῦ· καὶ ὁ τούτου φοιτητὴς ὁ
that-is in the flesh his and the his disciple the
θεοφόρος, καὶ τὰ θεῖα πολὺς Διονύσιος, ὅτι ὁλικῶς
God-bearing and in-the divine(-things) great Dionysius that wholly
ἡμῖν ἐν μιᾷ τῶν ἑαυτῆς ἐκοινώνησεν ὑποστάσεων. Οὐ μὴν
with-us in one of-the its-own shared hypostases not indeed
δὲ λέγειν ἀναγκασθησόμεθα, πάσας τὰς ὑποστάσεις τῆς
however to-say we-shall-be-compelled all the hypostases of-the
ἁγίας Θεότητος, ἤτοι τὰς τρεῖς πάσαις ταῖς ἀνθρωπότητος
holy Divinity that-is the three to-all the of-humanity
ὑποστάσεσι καθ' ὑπόστασιν ἡνῶσθαι. Κατ' οὐδένα
hypostases according-to hypostasis to-have-been-united in no
γὰρ κεκοινώνηκε λόγον ὁ Πατὴρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον
for has-shared way the Father and the Spirit the holy
τῇ σαρκώσει τοῦ Θεοῦ Λόγου, εἰ μὴ κατ' εὐδοκίαν καὶ
in-the incarnation — of-God Word if not by good-pleasure and
βούλησιν. Πάσῃ δὲ τῇ ἀνθρωπίνῃ φύσει φαμὲν ἑνωθῆναι
will to-all and the human nature we-say to-have-been-united
πᾶσαν τὴν τῆς Θεότητος οὐσίαν. Οὐδὲν γὰρ ὧν ἐνεφύτευσε
all the of-the Divinity substance nothing for of-what implanted
τῇ ἡμετέρᾳ φύσει ὁ Θεὸς Λόγος, ἀρχῆθεν πλάσας
in-the our nature — God Word from-the-beginning having-formed
ἡμᾶς, ἐνέλιπεν, ἀλλὰ πάντα ἀνέλαβε, σῶμα, ψυχὴν νοερὰν
us he-left-out but all(-things) he-assumed body soul intellectual
καὶ λογικήν, καὶ τὰ τούτων ἰδιώματα. Τὸ γὰρ ἑνὸς
and rational and the of-these properties the(-thing) for of-one

τούτων ἀμοιροῦν ζῶον, οὐκ ἄνθρωπος. Ὅλον γὰρ ὅλος
of-these without-share (is-a)-living-being not (a)-man whole for whole
ἀνέλαβέ με, καὶ ὅλος ὅλῳ ἡνώθη, ἵνα ὅλῳ τὴν σωτηρίαν
assumed me and whole to-whole was-united that to-whole the salvation
χαρίσηται. Τὸ γὰρ ἀπρόσληπτον, ἀθεράπευτον.
he-might-grant the(-thing) for unassumed (is)-unhealed
Ἥνωται τοίνυν σαρκὶ διὰ μέσου νοῦ ὁ Λόγος
is-united then to-flesh through (the)-medium of-mind the Word
τοῦ Θεοῦ μεσιτεύοντος Θεοῦ καθαρότητι, καὶ σαρκὸς
— of-God mediating between-God's purity and flesh's
παχύτητι· ἡγεμονικὸν μὲν γὰρ ψυχῆς τε καὶ σαρκὸς
thickness (the)-ruling(-part) indeed for of-soul both and flesh
πῶς οὖν ὁ φύσει ὢν Θεός, καὶ φύσει γενόμενος ἄνθρωπος,
how then — by-nature being God and by-nature having-become man
τά τε θαύματα καὶ τὰ πάθη μιᾷ ἐνεργείᾳ ἀπετέλεσεν;
the both miracles and the sufferings by-one activity accomplished
Εἰ οὖν ἀνέλαβεν ὁ Χριστὸς νοῦν ἀνθρώπινον, ἤγουν
if then assumed — Christ (a)-mind human that-is
ψυχὴν νοεράν τε καὶ λογικήν, διανοηθήσεται πάντως, καὶ
(a)-soul intellectual both and rational he-will-think certainly and
ἀεὶ διανοηθήσεται· ἐνέργεια δὲ νοῦ, ἡ διάνοια· ἄρα
always he-will-think activity and of-mind (is)-the thought then
καὶ καθὸ ἄνθρωπος ἐνεργὴς ὁ Χριστός, καὶ ἀεὶ ἐνεργής.
also as man active — (is)-Christ and always active
Ὁ δὲ πάνσοφος καὶ μέγας ἅγιος Ἰωάννης ὁ Χρυσόστομος
the and all-wise and great holy John — Chrysostom
ἐν τῇ ἑρμηνείᾳ τῶν Πράξεων, δευτέρῳ λόγῳ, οὕτω φησίν·
in the interpretation of-the Acts second discourse thus says
«Οὐκ ἄν τις ἁμάρτοι, καὶ τὸ πάθος αὐτοῦ πρᾶξιν
not — anyone would-err even the suffering his action
καλέσας. Ἐν τῷ γὰρ τὰ πάντα παθεῖν, ἐποίησε τὸ μέγα
having-called in the for the all(-things) to-suffer he-did the great
καὶ θαυμαστὸν ἐκεῖνο ἔργον, τὸν θάνατον καταλύσας, καὶ
and wonderful that work the death having-destroyed and
τὰ ἄλλα πάντα ἐργασάμενος.»
the other all(-things) having-worked
Εἰ πᾶσα ἐνέργεια, φύσεώς τινος οὐσιώδης ὁρίζεται κίνησις,
if every activity of-nature some substantial is-defined motion
ὡς οἱ περὶ ταῦτα δεινοὶ διειλήφασι, ποῦ φύσιν
as the(-ones) about these(-things) clever have-determined where (a)-nature

τις οἶδεν ἀκίνητον, ἢ παντελῶς ἀνενέργητον, ἢ ἐνέργειαν
anyone knows motionless or wholly inactive or activity
εὕρηκεν οὐ φυσικῆς δυνάμεως ὑπάρχουσαν κίνησιν; Μίαν
has-found not of-natural power being motion one
δὲ φυσικὴν τὴν ἐνέργειαν Θεοῦ καὶ ποιήματος οὐκ ἄν τις
and natural the activity of-God and of-creature not — anyone
εὖ φρονῶν δοίη, κατὰ τὸν μακάριον Κύριλλον· οὐδὲ
well thinking would-grant according-to the blessed Cyril nor
ζωοποιεῖ τὸν Λάζαρον ἡ ἀνθρωπίνη φύσις, οὔτε δακρύει
gives-life-to — Lazarus the human nature nor weeps
ἡ θεϊκὴ ἐξουσία· τὸ μὲν γὰρ δάκρυον, τῆς ἀνθρωπότητος
the divine authority the indeed for tear of-the humanity
ἴδιον, ἡ δὲ ζωή, τῆς ἐνυποστάτου ζωῆς. Ἀλλ' ὅμως κοινῶς
(is)-proper the but life of-the subsistent life but yet in-common
ἀμφοτέρων ἑκάτερα, διὰ τὸ ταὐτὸν τῆς ὑποστάσεως.
of-both each(-of-the-two) because-of the sameness of-the hypostasis
Εἷς μὲν γάρ ἐστιν ὁ Χριστός, καὶ ἓν αὐτοῦ τὸ πρόσωπον,
one indeed for is — Christ and one his the person
ἤτοι ἡ ὑπόστασις· ἀλλ' ὅμως ἔχει δύο φύσεις, τῆς θεότητος
that-is the hypostasis but yet he-has two natures of-the divinity
καὶ τῆς ἀνθρωπότητος αὐτοῦ. Ἐκ μὲν οὖν τῆς θεότητος
and of-the humanity his from indeed then the divinity
ἡ δόξα φυσικῶς προϊοῦσα, ἑκατέρου κοινὴ διὰ τὴν
the glory naturally proceeding of-each common because-of the
τῆς ὑποστάσεως ἐγένετο ταυτότητα, ἐκ δὲ τῆς σαρκός,
of-the hypostasis became sameness from but the flesh
τὰ ταπεινὰ ἑκατέρῳ κοινά. Εἷς γάρ ἐστι καὶ αὐτὸς ὁ
the lowly(-things) to-each common one for is also the-same the(-one)
τοῦτό τε κἀκεῖνο ὤν, ἤτοι Θεὸς καὶ ἄνθρωπος, καὶ τοῦ
this both and-that being that-is God and man and of-the
αὐτοῦ, τά τε τῆς θεότητος καὶ τὰ τῆς ἀνθρωπότητος·
same(-one) (are)-the both of-the divinity and the of-the humanity

τὰς μὲν γὰρ θεοσημείας ἡ θεότης εἰργάζετο, ἀλλ᾽ οὐ
the indeed for divine-signs the divinity worked but not
δίχα τῆς σαρκός· τὰ δὲ ταπεινὰ ἡ σάρξ, ἀλλ᾽ οὐ χωρὶς
apart-from the flesh the but lowly(-things) the flesh but not without
τῆς θεότητος. Καὶ πασχούσῃ γὰρ τῇ σαρκὶ συνημμένη ἦν
the divinity and to-the-suffering for the flesh conjoined was
ἡ θεότης, ἀπαθὴς διαμένουσα, καὶ τὰ πάθη ἐκτελοῦσα τὰ
the divinity impassible remaining and the sufferings accomplishing the
σωτήρια, καὶ ἐνεργούσῃ τῇ τοῦ Λόγου θεότητι συνημμένος
saving and to-the-acting the of-the Word divinity conjoined
ἦν ὁ ἅγιος νοῦς, νοῶν καὶ εἰδὼς τὰ τελούμενα.
was the holy mind thinking and knowing the(-things) being-accomplished
Τῶν μὲν οὖν οἰκείων αὐχημάτων ἡ θεότης τῷ σώματι
of-the indeed then own glories the divinity to-the body
μεταδίδωσιν· αὕτη δὲ τῶν τῆς σαρκὸς παθῶν διαμένει
imparts it but of-the of-the flesh sufferings remains
ἀμέτοχος. Οὐ γάρ, ὥσπερ διὰ τῆς σαρκὸς ἡ θεότης
unsharing not for as through the flesh the divinity
ἐνήργει, οὕτω καὶ διὰ τῆς θεότητος ἡ σὰρξ αὐτοῦ
acted so also through the divinity the flesh his
ἔπασχεν. Ὄργανον γὰρ ἡ σὰρξ τῆς θεότητος ἐχρημάτισεν.
suffered (an)-instrument for the flesh of-the divinity became
Εἰ καὶ τοίνυν ἐξ ἄκρας συλλήψεως οὐδ᾽ ὁτιοῦν διῃρημένον
if even therefore from (the)-very conception not anything divided
ἦν τῆς ἑκατέρας μορφῆς, ἀλλ᾽ ἑνὸς προσώπου αἱ τοῦ
was of-the each form but of-one person the of-the
παντὸς χρόνου πράξεις ἑκατέρας μορφῆς γεγόνασιν, ὅμως
whole time actions of-each form have-come-to-be yet
αὐτὰ ἅπερ ἀχωρίστως γεγένηνται, κατ᾽ οὐδένα τρόπον
them which inseparably have-come-to-be in no way

συγχέομεν, ἀλλὰ τί, ποίας εἴη μορφῆς ἐκ τῆς τῶν
we-confuse but what of-what-sort may-be form from the of-the
ἔργων ποιότητος αἰσθανόμεθα.
works quality we-perceive
Ἐνεργεῖ τοίνυν ὁ Χριστὸς καθ' ἑκατέραν αὐτοῦ τῶν
acts therefore — Christ according-to each his of-the
φύσεων, καὶ ἐνεργεῖ ἑκατέρα φύσις ἐν αὐτῷ μετὰ τῆς
natures and acts each nature in him with the
θατέρου κοινωνίας· τοῦ μὲν Λόγου κατεργαζομένου ἅπερ
of-the-other communion the indeed Word working what
ἐστὶ τοῦ Λόγου, διὰ τὴν αὐθεντίαν καὶ ἐξουσίαν τῆς
is of-the Word because-of the authority and power of-the
θεότητος, ὅσα ἐστὶν ἀρχικὰ καὶ βασιλικά· τοῦ δὲ
divinity as-many-as are princely and royal the but
σώματος, πρὸς τὸ βούλημα τοῦ ἑνωθέντος αὐτῷ Λόγου,
body according-to the will of-the united to-it Word
οὗ καὶ γέγονεν ἴδιον. Οὐ γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὰ φυσικὰ
of-which also it-has-become (the)-own not for of itself toward the natural
πάθη τὴν ὁρμὴν ἐποιεῖτο, οὐδ' αὐτὴν ἐκ τῶν λυπηρῶν
sufferings the impulse it-made nor the-very from the painful(-things)
ἀφορμὴν καὶ παραίτησιν, ἢ τὰ ἔξωθεν προσπίπτοντα
aversion and refusal or the from-outside befalling(-things)
ἔπασχεν, ἀλλ' ἐκινεῖτο κατὰ τὴν ἀκολουθίαν τῆς φύσεως,
it-suffered but it-was-moved according-to the sequence of-the nature
τοῦ Λόγου θέλοντος, καὶ παραχωροῦντος οἰκονομικῶς
the Word willing and permitting dispensationally
πάσχειν αὐτὸ καὶ πράττειν τὰ ἴδια, ἵνα διὰ τῶν
to-suffer it and to-do the own(-things) that through the
ἔργων τῆς φύσεως πιστωθῇ ἡ ἀλήθεια.
works of-the nature might-be-confirmed the truth

Ὥσπερ δὲ ὑπὲρ οὐσίαν οὐσιώθη ἐκ παρθένου
as and above substance he-was-substantiated from (a)-virgin
κυηθείς, οὕτω καὶ ὑπὲρ ἄνθρωπον τὰ τῶν ἀνθρώπων
being-conceived so also above man the(-things) of-the men
ἐνήργει, ἐπὶ ἀστάτου ὕδατος γηΐνοις ποσὶ πορευόμενος,
he-performed on unstable water with-earthly feet walking
οὐ γεωθέντος τοῦ ὕδατος, ἀλλὰ τῇ τῆς θεότητος
not having-become-earth the water but by-the of-the divinity
ὑπερφυεῖ δυνάμει συνισταμένου πρὸς τὸ ἀδιάχυτον, καὶ
supernatural power being-held-together to the not-flowing-away and
βάρει ὑλικῶν ποδῶν μὴ ὑπείκοντος. Οὐκ ἀνθρωπίνως
to-(the)-weight of-material feet not yielding not humanly
γὰρ ἔπραττε τὰ ἀνθρώπινα· οὐ γὰρ ἄνθρωπος μόνον,
for he-did the human(-things) not for (he-was)-man only
ἀλλὰ καὶ Θεός· ὅθεν καὶ τὰ τούτου πάθη ζωοποιὰ
but also God whence also the his sufferings (were)-life-giving
καὶ σωτήρια· οὐδὲ θεϊκῶς ἐνήργει τὰ θεῖα· οὐ γὰρ
and saving nor divinely he-performed the divine(-things) not for
Θεὸς μόνον, ἀλλὰ καὶ ἄνθρωπος· ὅθεν δι' ἁφῆς,
(he-was)-God only but also man whence through touch
καὶ λόγου, καὶ τῶν τοιούτων τὰς θεοσημείας εἰργάζετο.
and word and the such(-things) the divine-signs he-worked
Εἰ δὲ λέγοι τις ὡς Οὐκ ἐπ' ἀναιρέσει τῆς ἀνθρωπίνης
if and should-say someone that not for (the)-abolition of-the human
ἐνεργείας, μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ λέγομεν, ἀλλ'
activity one activity in-the-case-of Christ we-say but
ἐπειδὴ ἀντιδιαστελλομένη τῇ θείᾳ ἐνεργείᾳ πάθος λέγεται
since being-distinguished-against the divine activity passion is-called
ἡ ἀνθρωπίνη ἐνέργεια, κατὰ τοῦτο μίαν ἐνέργειαν ἐπὶ
the human activity in this one activity in-the-case-of
Χριστῷ λέγομεν· ἐροῦμεν, ὅτι κατὰ τοῦτον τὸν λόγον,
Christ we-say we-shall-say that according-to this the reasoning

καὶ οἱ μίαν φύσιν λέγοντες, οὐκ ἐπ᾽ ἀναιρέσει τῆς
also the(-ones) one nature saying not for (the)-abolition of-the
ἀνθρωπίνης ταύτην λέγουσιν, ἀλλ᾽ ἐπειδὴ ἀντιδιαστελλομένη
human(-nature) this say but since being-distinguished-against
ἡ ἀνθρωπίνη φύσις πρὸς τὴν θείαν φύσιν, παθητικὴ
the human nature to the divine nature passive
λέγεται. Ἡμᾶς δὲ μὴ γένοιτο τῇ πρὸς τὴν θείαν
is-called us but not may-it-be by-the to the divine
ἐνέργειαν διαστολῇ πάθος τὴν ἀνθρωπίνην προσαγορεῦσαι
activity distinction passion the human to-call
κίνησιν. Οὐδενὸς γάρ, καθόλου φάναι, ὕπαρξις ἐκ
motion of-nothing for at-all to-say (the)-existence from
παραθέσεως, ἢ ἐκ συγκρίσεως γινώσκεται ἢ ὁρίζεται.
juxtaposition or from comparison is-known or is-defined
Οὕτως ὑπαλληλαίτια εὑρηθήσεται τὰ ὄντα πράγματα.
so mutually-causative will-be-found the existing things
Εἰ γὰρ διὰ τὸ ἐνέργειαν εἶναι τὴν θείαν κίνησιν ἡ
if for because-of the activity to-be the divine motion the
ἀνθρωπίνη πάθος ἐστί, πάντως καὶ διὰ τὸ ἀγαθὴν
human passion is certainly also because-of the good
εἶναι τὴν θείαν φύσιν πονηρὰ ἔσται ἡ ἀνθρωπίνη· καὶ
to-be the divine nature evil will-be the human and
κατὰ τὴν σὺν ἀντιθέσει ἀντιστροφήν, διὰ τὸ πάθος
according-to the with antithesis conversion because-of the passion
λέγεσθαι τὴν ἀνθρωπίνην κίνησιν, ἡ θεία κίνησις ἐνέργεια
to-be-called the human motion the divine motion activity
λέγεται, καὶ διὰ τὸ πονηρὰν εἶναι τὴν ἀνθρωπίνην
is-called and because-of the evil to-be the human
φύσιν, ἀγαθὴ ἔσται ἡ θεία· καὶ πάντα δὲ τὰ κτίσματα
nature good will-be the divine and all too the creatures

οὕτως ἔσται πονηρά, καὶ ψεύσεται ὁ εἰπών· Καὶ
so will-be evil and will-lie the(-one) having-said and
εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν.
saw — God all(-things) as-many-as he-made and behold good very
Ἡμεῖς δέ φαμεν, ὅτι οἱ ἅγιοι Πατέρες πολυτρόπως τὴν
we but say that the holy Fathers in-many-ways the
ἀνθρωπίνην ὠνόμασαν κίνησιν πρὸς τὰς ὑποκειμένας
human named motion according-to the underlying
ἐννοίας. Προσηγόρευσαν γὰρ αὐτὴν καὶ δύναμιν, καὶ
notions they-called for it both power and
ἐνέργειαν, καὶ διαφοράν, καὶ κίνησιν, καὶ ἰδιότητα, καὶ
activity and difference and motion and property and
ποιότητα, καὶ πάθος, οὐ κατὰ ἀντιδιαστολὴν τῆς θείας, ἀλλ'
quality and passion not by distinction-against the divine but
ὡς συνεκτικὴν μὲν καὶ ἀναλλοίωτον δύναμιν· ἐνέργειαν
as sustaining indeed and unalterable power activity
δέ, ὡς χαρακτηριστικήν, καὶ τὴν ἐν πᾶσι τοῖς ὁμοειδέσιν
but as distinguishing and the in all the of-like-form
ἀπαραλλαξίαν ἐμφαίνουσαν· διαφορὰν δέ, ὡς ἀφοριστικήν·
invariability displaying difference but as defining
κίνησιν δέ, ὡς ἐνδεικτικήν· ἰδιότητα δέ, ὡς συστατικήν,
motion but as indicative property but as constitutive
καὶ μόνῃ αὐτῇ, καὶ οὐκ ἄλλῃ προσοῦσαν· ποιότητα δέ,
and alone to-it and not to-another belonging quality but
ὡς εἰδοποιόν· πάθος δέ, ὡς κινουμένην. Πάντα γὰρ τὰ
as form-giving passion but as being-moved all for the(-things)
ἐκ τοῦ Θεοῦ, καὶ μετὰ Θεόν, πάσχει τῷ κινεῖσθαι, ὡς μὴ
from — God and after God suffer by-the to-be-moved as not
ὄντα αὐτοκίνησις, ἢ αὐτοδύναμις· κατὰ ἀντιδιαστολὴν
being self-motion or self-power according-to distinction-against
οὖν, ὡς εἴρηται, ἀλλὰ κατὰ τὸν δημιουργικῶς αὐτῇ
then as has-been-said but according-to the creatively in-it

ἐντεθέντα παρὰ τῆς τὸ πᾶν συστησαμένης αἰτίας λόγον·
placed by the the all having-constituted cause principle
ὅθεν καὶ μετὰ τῆς θείας συνεκφωνοῦντες αὐτήν, ἐνέργειαν
whence also with the divine together-uttering it activity
προσηγόρευσαν. Ὁ γὰρ εἰπών· «Ἐνεργεῖ γὰρ ἑκατέρα
they-called the(-one) for having-said acts for each
μορφὴ μετὰ τῆς θατέρου κοινωνίας,» τί ἕτερον πεποίηκεν,
form with the of-the-other communion what other has-done
ἢ ὁ εἰπών· Καὶ γὰρ τεσσαράκοντα ἡμέρας ἀπόσιτος
than the(-one) having-said and for forty days without-food
μείνας, ὕστερον ἐπείνασεν· ἔδωκε γὰρ τῇ φύσει,
having-remained later he-hungered he-gave for to-the nature
ὅτε ἤθελε τὰ ἴδια ἐνεργεῖν· ἢ οἱ διάφορον ἐν
when he-willed the own(-things) to-do or the(-ones) different in
αὐτῷ φήσαντες ἐνέργειαν, ἢ οἱ διπλῆν, ἢ οἱ
him having-said activity or the(-ones) twofold or the(-ones)
ἄλλην καὶ ἄλλην; Ταῦτα γὰρ δι' ἀντωνυμίας δύο τὰς
other and other these for through (a)-pronoun two the
ἐνεργείας σημαίνουσι. Καὶ δι' ἀντωνυμίας γὰρ πολλάκις
activities signify and through (a)-pronoun for often
ὁ ἀριθμὸς ἐνδείκνυται, καὶ διὰ τοῦ εἰπεῖν, θεῖον καὶ
the number is-indicated and through the to-say divine and
ἀνθρώπινον. Ἡ γὰρ διαφορὰ διαφερόντων ἐστὶ διαφορά·
human the for difference of-differing(-things) is (the)-difference
τὰ μὴ ὄντα, πῶς διοίσουσιν;
the(-things) not being how will-they-differ

Πρὸς τοὺς λέγοντας· Εἰ δύο φύσεων καὶ ἐνεργειῶν ὁ ἄνθρωπος, ἀνάγκη ἐπὶ Χριστοῦ τρεῖς φύσεις, καὶ τοσαύτας λέγειν τὰς ἐνεργείας

LX · AGAINST "IF MAN IS TWO NATURES, CHRIST IS THREE"

A man is made of two natures, soul and body, which keep their properties after the union and are not one substance, as the definition "rational mortal animal" shows. We speak of one human nature because all men share the same constitution under one species, as Athanasius calls all creatures one nature; but there is no species of Christs, so Christ cannot be called one nature. A composition is named from its immediate parts, a house from bricks and timbers, not from earth and water, so Christ is from divinity and humanity, not from three natures. Gregory the Theologian calls man double, soul and body, and so his cleansing, water and spirit.

Ὁ μὲν καθ' ἕκαστα ἄνθρωπος, ἐκ δύο συγκείμενος
the indeed in particular man from two composed
φύσεων, ψυχῆς τε καὶ σώματος, καὶ ταύτας ἀμεταβλήτους
natures soul both and body and these unchangeable
ἔχων ἐν ἑαυτῷ, δύο φύσεις εἰκότως λεχθήσεται· σώζει
having in himself two natures fittingly will-be-said he-preserves
γὰρ ἑκατέρων, καὶ μετὰ τὴν ἕνωσιν, τὴν φυσικὴν ἰδιότητα.
for of-both even after the union the natural property
Οὔτε γὰρ τὸ σῶμα ἀθάνατον, ἀλλὰ φθαρτόν· οὔτε ἡ
neither for (is)-the body immortal but corruptible nor the
ψυχὴ θνητή, ἀλλ' ἀθάνατος· οὔτε τὸ σῶμα ἀόρατον, οὔτε ἡ
soul mortal but immortal nor the body invisible nor the
ψυχὴ σωματικοῖς ὀφθαλμοῖς ὁρατή· ἀλλὰ ἡ μέν, λογική,
soul to-bodily eyes visible but the indeed (is)-rational
καὶ νοερά, καὶ ἀσώματος, τὸ δέ, παχύ τε, καὶ ὁρατόν,
and intellectual and bodiless the but thick both and visible

καὶ ἄλογον. Οὐ μιᾶς δὲ φύσεως, τὰ κατ᾽ οὐσίαν
and irrational not of-one and nature (are)-the(-things) in substance
ἀντιδιαιρούμενα· οὐ μιᾶς ἄρα οὐσίας ψυχή τε καὶ σῶμα.
counter-divided not of-one then substance (are)-soul both and body
Καὶ πάλιν· εἰ ζῶον λογικὸν θνητὸν ὁ ἄνθρωπος,
and again if (a)-living-being rational mortal (is)-the man
πᾶς δὲ ὅρος τῶν ὑποκειμένων φύσεών ἐστιν δηλωτικός,
every and definition of-the subject natures is indicative
οὐ ταυτὸν δὲ κατὰ τὸν τῆς φύσεως λόγον τὸ
not the-same and according-to the of-the nature account (is)-the
λογικὸν τῷ θνητῷ. Οὐκ ἄρα μιᾶς φύσεως εἴη ὁ
rational with-the mortal not then of-one nature would-be the
ἄνθρωπος κατὰ τὸν τοῦ οἰκείου ὁρισμοῦ κανόνα.
man according-to the of-the own definition rule
Εἰ δὲ λέγοιτό ποτε μιᾶς φύσεως ὁ ἄνθρωπος,
if and it-should-be-said ever (that)-of-one nature (is)-the man
ἀντὶ τοῦ εἴδους τὸ τῆς φύσεως παραλαμβάνεται ὄνομα,
instead-of the species the of-the nature is-taken name
λεγόντων ἡμῶν, ὅτι οὐ διαλλάττει ἄνθρωπος ἀνθρώπου
saying we that not differs man from-man
κατά τινα φύσεως διαφοράν· ἀλλὰ τὴν αὐτὴν σύστασιν
in any of-nature difference but the same constitution
ἔχοντες πάντες οἱ ἄνθρωποι, καὶ ἐκ ψυχῆς συντεθειμένοι
having all the men and from soul composed
καὶ σώματος, καὶ δύο ἕκαστος φύσεις τελοῦντες, ὑφ᾽
and body and two each natures completing under
ἕνα πάντες ὁρισμὸν ἀνάγονται. Καὶ οὐ παράλογον τοῦτο,
one all definition are-brought and not unreasonable (is)-this
ὁπότε καὶ πάντων τῶν κτιστῶν, ὡς γενητῶν, μίαν φύσιν
since also of-all the created(-things) as generated one nature
ὁ ἱερὸς Ἀθανάσιος ἔφησεν, ἐν τῷ κατὰ τῶν
the holy Athanasius said in the(-discourse) against the(-ones)

βλασφημούντων τὸ Πνεῦμα τὸ ἅγιον λόγῳ οὐτωσὶ λέγων·
blaspheming the Spirit the holy discourse thus saying
ὅτι δὲ ἄνω τῆς κτίσεώς ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ
that and above the creation is the Spirit the holy and
ἄλλο μὲν παρὰ τὴν τῶν γενητῶν φύσιν, ἴδιον δὲ
other indeed than the of-the generated(-things) nature proper but
τῆς θεότητος, ἔξεστι πάλιν συνιδεῖν. Πᾶν γὰρ ὃ
of-the divinity (it-is)-possible again to-perceive every(-thing) for which
κοινῶς καὶ ἐν πολλοῖς θεωρεῖται, οὔ τινι μὲν πλέον,
in-common and in many is-contemplated not in-some indeed more
τινὶ δὲ ἔλαττον ὑπάρχον, οὐσία ὀνομάζεται. Ἐπεὶ οὖν
in-some but less being (a)-substance is-named since then
πᾶς ἄνθρωπος ἐκ ψυχῆς ἐστι συντεθειμένος καὶ σώματος,
every man of soul is composed and body
κατὰ τοῦτο μία φύσις τῶν ἀνθρώπων λέγεται. Ἐπὶ
according-to this one nature of-the men is-said in-the-case-of
δὲ τῆς ὑποστάσεως τοῦ Κυρίου οὐ δυνάμεθα λέγειν μίαν
but the hypostasis of-the Lord not we-can say one
φύσιν· αἵ τε γὰρ σώζουσι καὶ μετὰ τὴν ἕνωσιν ἑκάστη
nature they both for preserve even after the union each
τὴν φυσικὴν ἰδιότητα, καὶ εἶδος Χριστῶν οὐκ ἔστι
the natural property and species of-Christs not (it-is-possible)
εὑρεῖν. Οὐ γὰρ ἐγένετο ἄλλος Χριστὸς ἐκ θεότητός
to-find not for has-come-to-be another Christ from divinity
τε καὶ ἀνθρωπότητος, Θεός τε καὶ ἄνθρωπος ὁ αὐτός.
both and humanity God both and man the same
Καὶ πάλιν· οὐ ταὐτόν ἐστι τὸ κατ᾽ εἶδος τοῦ ἀνθρώπου
and again not the-same is the according-to species of-the man
ἕν, καὶ τὸ κατ᾽ οὐσίαν ψυχῆς τε καὶ σώματος ἕν. Τὸ
one and the according-to substance of-soul both and body one the
μὲν γὰρ κατ᾽ εἶδος τοῦ ἀνθρώπου ἕν, τὴν ἐν πᾶσι τοῖς
indeed for according-to species of-the man one the in all the

ἀνθρώποις ἀπαραλλαξίαν ἐνδείκνυται· τὸ δὲ κατ᾽ οὐσίαν,
men invariability shows the but according-to substance
ψυχῆς τε καὶ σώματος ἕν, αὐτὸ τὸ εἶναι αὐτῶν λυμαίνεται,
of-soul both and body one the-very the to-be their destroys
εἰς ἀνυπαρξίαν αὐτὰ παντελῆ ἄγον· ἢ γὰρ τὸ ἓν εἰς τὴν
into non-existence them complete leading either for the one into the
τοῦ ἑτέρου μεταποιηθήσεται οὐσίαν, ἢ ἐξ ἑτέρων ἕτερον
of-the other will-be-transformed substance or from others another
γενήσεται, καὶ ἀμφότερα τραπήσονται, ἢ ἐπὶ τῶν ἰδίων
will-come-to-be and both will-be-changed or in the own
ὅρων μένοντα, δύο φύσεις ἔσονται. Οὐ γὰρ ταὐτὸν κατ᾽
bounds remaining two natures they-will-be not for the-same according-to
οὐσίας λόγον τὸ σῶμα τῷ ἀσωμάτῳ. Οὐκ ἀνάγκη
of-substance account (is)-the body with-the bodiless not (it-is)-necessary
τοίνυν ἐπὶ τοῦ ἀνθρώπου μίαν φύσιν λέγοντας, οὐ διὰ
therefore of the man one nature saying not because-of
τὸ ταὐτὸν τῆς οὐσιώδους ποιότητος ψυχῆς τε καὶ
the sameness of-the substantial quality of-soul both and
σώματος, ἀλλὰ διὰ τὸ ἀπαράλλακτον τῶν ὑπὸ τὸ εἶδος
body but because-of the invariability of-the under the species
ἀναγομένων ἀτόμων, μίαν καὶ ἐπὶ Χριστοῦ φύσιν λέγειν,
brought individuals one also of Christ nature to-say
ἔνθα εἶδος περιεκτικὸν πολλῶν ὑποστάσεων οὐκ ἔστιν.
where (a)-species comprehending many hypostases not there-is
Ἔτι δὲ πᾶσα σύνθεσις ἐκ τῶν προσεχῶς συντεθέντων
further and every composition from the immediately compounded(-things)
συντεθεῖσθαι λέγεται· οὐ γὰρ λέγομεν τὸν οἶκον ἐκ γῆς
to-be-compounded is-said not for we-say the house from earth
καὶ ὕδατος συντεθεῖσθαι, ἀλλ᾽ ἐκ πλίνθων καὶ ξύλων.
and water to-be-compounded but from bricks and timbers
Ἐπεὶ ἀνάγκη καὶ τὸν ἄνθρωπον λέγειν ἐκ πέντε
since (it-would-be)-necessary also the man to-say from five

τοὐλάχιστον συγκεῖσθαι φύσεων, ἔκ τε τῶν τεσσάρων
at-least to-be-composed natures from both the four
στοιχείων, καὶ ψυχῆς. Οὕτω καὶ ἐπὶ τοῦ Κυρίου ἡμῶν
elements and soul so also in-the-case-of the Lord our
Ἰησοῦ Χριστοῦ, οὐ τὰ μέρη τῶν μερῶν σκοποῦμεν, ἀλλὰ
Jesus Christ not the parts of-the parts we-consider but
τὰ προσεχῶς συντεθέντα, θεότητά τε καὶ ἀνθρωπότητα.
the(-things) immediately compounded divinity both and humanity
Ἔτι δὲ εἰ δύο φύσεις τὸν ἄνθρωπον λέγοντες, τρεῖς φύσεις
further and if two natures the man calling three natures
ἐπὶ τοῦ Χριστοῦ λέγειν ἀναγκασθησόμεθα, καὶ ὑμεῖς ἐκ
in-the-case-of — Christ to-say we-shall-be-compelled and you from
δύο φύσεων τὸν ἄνθρωπον λέγοντες, ἐκ τριῶν τὸν Χριστὸν
two natures the man saying from three — Christ
δογματίσετε φύσεων· ὁμοίως καὶ περὶ ἐνεργειῶν. Κατάλληλον
will-decree natures likewise also about activities corresponding
γὰρ ἀνάγκη τῇ φύσει τὴν ἐνέργειαν εἶναι· ὅτι δὲ
for (it-is)-necessary to-the nature the activity to-be that and
«Δύο φύσεων ὁ ἄνθρωπος λέγεταί τε καὶ ἔστι, μάρτυς ὁ
of-two natures the man is-called both and is witness the
Θεολόγος Γρηγόριος· Φύσεις μὲν γὰρ δύο, φάσκων, Θεὸς
Theologian Gregory natures indeed for two asserting God
καὶ ἄνθρωπος· ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα·» καὶ ἐν τῷ περὶ
and man since also soul and body and in the about
Βαπτίσματος δὲ λόγῳ τοιάδε φησί· «Διττῶν δὲ ὄντων ἡμῶν
Baptism and discourse such says double and being us
ἐκ ψυχῆς καὶ σώματος, καὶ τῆς μὲν ὁρατῆς, τῆς δὲ ἀοράτου
from soul and body and of-the indeed visible of-the but invisible
φύσεως, διττὴ καὶ ἡ κάθαρσις, δι' ὕδατος καὶ πνεύματος.»
nature double also the cleansing through water and spirit

Περὶ τοῦ τεθεῶσθαι τὴν φύσιν τῆς τοῦ Κυρίου σαρκὸς καὶ τὸ θέλημα

LXI · THAT CHRIST'S FLESH AND WILL WERE DEIFIED

The Lord's flesh is said to be deified not by change or confusion of nature but by the union in hypostasis, as iron is heated through by fire. The flesh kept its own properties but was enriched with divine activities through the Word, as the red-hot iron burns: mortal of itself, it was life-giving through the union. So too the will was deified, not changed: it could not hide him by itself, but it cleansed the leper through the divine will. The deification itself shows two natures and two wills, as heating shows both what is heated and what heats.

Χρὴ εἰδέναι, ὡς οὐ κατὰ μεταβολὴν φύσεως, ἢ τροπήν,
(one)-must know that not by change of-nature or turning
ἢ ἀλλοίωσιν, ἢ σύγχυσιν, ἡ σὰρξ τοῦ Κυρίου τεθεῶσθαι
or alteration or confusion the flesh of-the Lord to-have-been-deified
λέγεται, καὶ ὁμόθεος, καὶ Θεὸς γενέσθαι, ὥς φησιν ὁ
is-said and equally-God and God to-have-become as says the
Θεολόγος Γρηγόριος· ὧν τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη,
Theologian Gregory of-which the one deified the other was-deified
καὶ θαῤῥῶ λέγειν, ὁμόθεος. Καὶ ἄνθρωπον γενέσθαι τὸ
and I-dare to-say equally-God and man to-have-become the(-thing)
χρίσαν, καὶ Θεὸν τὸ χριόμενον. Ταῦτα γὰρ οὐ κατὰ
having-anointed and God the(-thing) anointed these(-things) for not by
μεταβολὴν φύσεως, ἀλλὰ κατὰ τὴν οἰκονομικὴν ἕνωσιν,
change of-nature but by the dispensational union
τὴν καθ' ὑπόστασιν λέγω, καθ' ἣν ἀδιασπάστως
the according-to hypostasis I-mean according-to which inseparably
τῷ Θεῷ Λόγῳ ἥνωται, καὶ τὴν ἐν ἀλλήλαις τῶν φύσεων
— to-God Word it-is-united and the in one-another of-the natures
περιχώρησιν, ὥς φαμεν καὶ τὴν τοῦ σιδήρου πύρωσιν·
interpenetration as we-say also the of-the iron heating-to-fire

ὥσπερ γὰρ τὴν ἐνανθρώπησιν χωρὶς μεταβολῆς καὶ τροπῆς
as for the becoming-man without change and turning
ὁμολογοῦμεν, οὕτω καὶ τὴν θέωσιν τῆς σαρκὸς γενέσθαι
we-confess so also the deification of-the flesh to-have-come-about
δοξάζομεν· οὔτε γὰρ διότι ὁ Λόγος σὰρξ ἐγένετο, τῶν
we-glorify neither for because the Word flesh became from-the
ὅρων ἐξέστη τῆς οἰκείας θεότητος, οὔτε τῶν προσόντων
bounds departed of-the own divinity nor from-the belonging
αὐτῇ θεοπρεπῶν αὐχημάτων· οὔτε μὴν ἡ σὰρξ θεωθεῖσα
to-it God-befitting glories nor indeed the flesh deified
τῆς οἰκείας ἐτράπη φύσεως, ἢ τῶν αὐτῆς φυσικῶν
from-the own was-changed nature or from-the its natural
ἰδιωμάτων. Μεμενήκασι γὰρ καὶ μετὰ τὴν ἕνωσιν, αἵ τε
properties have-remained for also after the union the both
φύσεις ἀσύμφυρτοι, καὶ αἱ τούτων ἰδιότητες ἀλώβητοι· ἡ
natures unmingled and the of-these properties unimpaired the
δὲ τοῦ Κυρίου σὰρξ τὰς θείας ἐνεργείας ἐπλούτησε, διὰ
and of-the Lord flesh in-the divine activities was-enriched because-of
τὴν πρὸς τὸν Λόγον ἀκραιφνεστάτην ἕνωσιν, ἤτοι τὴν
the toward the Word most-pure union that-is the
καθ' ὑπόστασιν, οὐδαμῶς τῶν κατὰ φύσιν ἰδίων
according-to hypostasis in-no-way of-the according-to nature proper(-things)
ὑποστᾶσα ἔκπτωσιν· οὐ γὰρ κατ' οἰκείαν ἐνέργειαν, ἀλλὰ
having-undergone (a)-falling-away not for by own activity but
διὰ τὸν ἡνωμένον αὐτῇ Λόγον τὰ θεῖα ἐνήργει, τοῦ
through the united to-it Word the divine(-things) it-worked the
Λόγου δι' αὐτῆς τὴν οἰκείαν ἐνδεικνυμένου ἐνέργειαν·
Word through it the own showing activity
καίει γὰρ ὁ πεπυρακτωμένος σίδηρος, οὐ φυσικῷ λόγῳ
burns for the red-hot iron not by-natural reason

τὴν καυστικὴν κεκτημένος ἐνέργειαν, ἀλλ᾽ ἐκ τῆς πρὸς
the burning having activity but from the to
τὸ πῦρ ἑνώσεως τοῦτο κεκτημένος.
the fire union this having
Ἡ αὐτὴ τοιγαροῦν θνητὴ ἦν δι᾽ ἑαυτήν, καὶ ζωοποιὸς
the same then mortal was through itself and life-giving
διὰ τὴν πρὸς τὸν Λόγον καθ᾽ ὑπόστασιν ἕνωσιν.
because-of the toward the Word according-to hypostasis union
Ὁμοίως καὶ τὴν τοῦ θελήματος θέωσιν, οὐχ ὡς
likewise also the of-the will deification not as
μεταβληθείσης τῆς φυσικῆς κινήσεως, λέγομεν, ἀλλ᾽ ὡς
having-been-changed the natural motion we-say but as
ἡνωμένης τῷ θείῳ αὐτοῦ καὶ παντοδυνάμῳ θελήματι,
united with-the divine his and all-powerful will
καὶ γεγονότος Θεοῦ ἐνανθρωπήσαντος θέλημα· ὅθεν θέλων
and having-become of-God having-become-man (the)-will whence willing
λαθεῖν οὐκ ἠδυνήθη δι᾽ ἑαυτό, εὐδοκήσαντος τοῦ Θεοῦ
to-escape-notice not it-could through itself (it-having)-pleased — God
Λόγου δειχθῆναι ἐν ἑαυτῷ ἀληθῶς ὑπάρχον τὸ ἀσθενὲς τοῦ
Word to-be-shown in himself truly existing the weakness of-the
ἀνθρωπίνου θελήματος. Θέλων δὲ τὴν τοῦ λεπροῦ ἐνήργησε
human will willing but the of-the leper it-effected
κάθαρσιν, διὰ τὴν πρὸς τὸ θεῖον θέλημα ἕνωσιν.
cleansing because-of the toward the divine will union
Ἰστέον δὲ ὡς ἡ θέωσις τῆς τε φύσεως καὶ τοῦ
(one)-must-know and that the deification of-the both nature and of-the
θελήματος ἐμφατικώτατον καὶ δεικτικώτατόν ἐστι τῶν
will most-expressive and most-indicative is of-the
τε δύο φύσεων, καὶ τῶν δύο θεληµάτων· ὥσπερ γὰρ
both two natures and of-the two wills as for
ἡ πύρωσις οὐ μεταβάλλει τὴν τοῦ πυρωθέντος φύσιν
the heating-to-fire not changes the of-the heated nature

εἰς τὴν τοῦ πυρός, ἀλλὰ δηλοῖ τό τε πυρωθέν, καὶ τὸ
into the of-the fire but shows the both heated and the
πυρῶσαν, καὶ οὐχ ἑνός, ἀλλὰ δύο ἐστὶ δηλωτικόν· οὕτω
heating(-thing) and not of-one but of-two is indicative so
καὶ ἡ θέωσις οὐ μίαν φύσιν ἀποτελεῖ σύνθετον, ἀλλὰ τὰς
also the deification not one nature produces compound but the
δύο, καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν· φησὶ γοῦν ὁ
two and the according-to hypostasis union says at-any-rate the
Θεολόγος Γρηγόριος· «Ὧν τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη·»
Theologian Gregory of-which the one deified the other was-deified
ὧν γὰρ εἰπών, καί, τὸ μέν, καὶ τὸ δέ, δύο ἔδειξεν.
of-which for having-said and the one and the other two he-showed

Ἔτι περὶ θελημάτων καὶ αὐτεξουσίων, νοῶν τε, καὶ γνώσεων, καὶ σοφιῶν

LXII · AGAIN ON WILLS, MINDS, KNOWLEDGE, AND WISDOM

Christ took all that is the Father's and all that is his Mother's: he became man so that what was conquered might conquer, for the tyrant would have complained of force. He assumed a whole man, and above all the mind, the image, for what is not assumed is not healed. His human will followed his divine will, shrinking from death naturally and choosing it freely, as "let this cup pass" and "not my will but yours" show. Every rational nature has a self-determining will guided by reason, as beasts have not; his two wills differed in power, the human beginning in time and becoming all-powerful through the Word.

Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον λέγοντες τὸν Χριστόν,
God perfect and man perfect calling — Christ
πάντως πάντα δώσομεν, τά τε τοῦ Πατρὸς φυσικά,
certainly all(-things) we-shall-give(-him) the both of-the Father natural(-things)
τά τε τῆς Μητρός· γέγονε γὰρ ἄνθρωπος, ἵνα τὸ
the both of-the Mother he-became for man that the(-thing)

νικηθὲν νικήσῃ. Οὐκ ἀδύνατος γὰρ ἦν ὁ τὰ πάντα
conquered might-conquer not unable for was the(-one) the all(-things)
δυνάμενος, καὶ τῇ παντοδυνάμῳ αὐτοῦ ἐξουσίᾳ καὶ δυνάμει
able also by-the all-powerful his authority and power
ἐξελέσθαι τοῦ τυραννοῦντος τὸν ἄνθρωπον· ἀλλ' ἦν
to-rescue from-the tyrant the man but (there)-was
ἐγκλήματος τῷ τυραννοῦντι ὑπόθεσις, ἄνθρωπον νικήσαντι,
of-complaint to-the tyrant (a)-ground man having-conquered
καὶ ὑπὸ Θεοῦ βιασθέντι. Αὐτὸν οὖν τὸν πεσόντα νικητὴν
and by God forced him then the(-one) fallen conqueror
ἀναδεῖξαι βουληθεὶς ὁ συμπαθὴς Θεὸς καὶ φιλάνθρωπος,
to-show-forth having-willed the compassionate God and loving-mankind
ἄνθρωπος γίνεται τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαλούμενος.
man becomes by-the like the like calling-back
Ὅτι δὲ λογικὸν καὶ νοερὸν ζῶον ὁ ἄνθρωπος,
that and (a)-rational and intellectual living-being (is)-the man
οὐδεὶς ἀντερεῖ· πῶς οὖν ἄνθρωπος γέγονεν, εἰ σάρκα
no-one will-dispute how then man has-he-become if flesh
ἄψυχον ἢ ψυχὴν ἄνουν ἔλαβεν; Οὐ τοῦτο γὰρ ἄνθρωπος.
soulless or (a)-soul mindless he-took not this for (is)-man
Τί δὲ καὶ τῆς ἐνανθρωπήσεως ἀπωνάμεθα, τοῦ
what and also from-the becoming-man have-we-profited of-the
πρωτοπαθήσαντος μὴ σεσωσμένου, μηδὲ τῇ συναφείᾳ τῆς
first-affected not having-been-saved nor by-the conjunction of-the
θεότητος ἀνακεκαινισμένου τε καὶ νενευρωμένου; Τὸ γὰρ
divinity having-been-renewed both and strengthened the for
ἀπρόσληπτον, ἀθεράπευτον. Ἀναλαμβάνει τοίνυν ὅλον τὸν
unassumed (is)-unhealed he-assumes therefore whole the
ἄνθρωπον, καὶ τὸ τούτου κάλλιστον, ὑπὸ ἀῤῥωστίαν
man and the of-this most-beautiful(-part) under sickness
πεσόν, ἵνα ὅλῳ τὴν σωτηρίαν χαρίσηται· νοῦς δὲ
having-fallen that to-whole the salvation he-might-grant (a)-mind and

ἄσοφος, ἐστερημένος γνώσεως, οὐκ ἂν εἴη ποτέ. Εἰ γὰρ
unwise deprived of-knowledge not — would-be ever if for
ἀνενέργητος καὶ ἀκίνητος, καὶ ἀνύπαρκτος πάντως.
inactive and motionless (it-is)-also non-existent certainly
Τὸ οὖν κατ᾽ εἰκόνα ἀνακαινίσαι βουλόμενος ὁ Θεὸς
the then according-to image to-renew wishing — God
Λόγος, γέγονεν ἄνθρωπος. Τί δὲ τὸ κατ᾽ εἰκόνα,
Word has-become man what and (is)-the according-to image
εἰ μὴ ὁ νοῦς; Τὸ κρεῖττον οὖν παρείς, τὸ χεῖρον
if not the mind the better then having-passed-over the worse
ἀνέλαβε; Νοῦς γὰρ ἐν μεταιχμίῳ ἐστὶ Θεοῦ καὶ
did-he-assume (the)-mind for in (the)-borderland is between-God and
σαρκός, τῆς μὲν ὡς σύνοικος, τοῦ Θεοῦ δέ, ὡς εἰκών.
flesh of-the indeed as co-dweller — of-God and as image
Νοῦς οὖν νοΐ μίγνυται, καὶ μεσιτεύει ὁ νοῦς Θεοῦ
mind then with-mind is-mingled and mediates the mind between-God's
καθαρότητι καὶ σαρκὸς παχύτητι· εἰ γὰρ ψυχὴν ἄνουν
purity and flesh's thickness if for (a)-soul mindless
ὁ Κύριος ἀνέλαβεν, ἀλόγου ζώου ψυχὴν ἀνέλαβεν.
the Lord assumed of-(an)-irrational animal (the)-soul he-assumed
Εἰ δὲ σάρκα γενέσθαι ὁ εὐαγγελιστὴς ἔφη τὸν Λόγον,
if and flesh to-have-become the evangelist said the Word
ἰστέον ὡς παρὰ τῇ ἁγίᾳ Γραφῇ, ποτὲ μὲν ψυχὴ
(one)-must-know that in the holy Scripture sometimes indeed (a)-soul
λέγεται ὁ ἄνθρωπος, ὡς τό· Ἐν ἑβδομήκοντα πέντε
is-called the man as the(-saying) with seventy five
ψυχαῖς εἰσῆλθεν Ἰακὼβ εἰς Αἴγυπτον· ποτὲ δὲ σάρξ, ὡς
souls entered Jacob into Egypt sometimes and flesh as
τό· Ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. Οὐ
the(-saying) shall-see all flesh the salvation — of-God not
σὰρξ τοίνυν ἄψυχος, οὐδὲ ἄνους, ἀλλ᾽ ἄνθρωπος γέγονεν
flesh therefore soulless nor mindless but man has-become

ὁ Κύριος. Φησὶ γοῦν αὐτός· Τί με δέρεις ἄνθρωπον,
the Lord says at-any-rate he why me do-you-beat (a)-man
ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; Ἀνέλαβε τοίνυν σάρκα
who the truth to-you have-spoken he-assumed therefore flesh
ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, ἡγεμονικῇ μὲν
ensouled with-a-soul rational both and intellectual ruling indeed
τῆς σαρκός, ἡγεμονευομένῃ δὲ ὑπὸ τῆς τοῦ Λόγου θεότητος.
the flesh being-ruled but by the of-the Word divinity
Εἶχε μὲν οὖν φυσικῶς, καὶ ὡς Θεός, καὶ ὡς ἄνθρωπος,
he-had indeed then naturally both as God and as man
τὸ θέλειν· εἵπετο δὲ καὶ ὑπετάσσετο τῷ αὐτοῦ θελήματι
the to-will followed and also was-subjected to-the his will
τὸ ἀνθρώπινον, μὴ κινούμενον γνώμῃ ἰδίᾳ, ἀλλὰ ταῦτα
the human(-will) not moved by-inclination own but these-things
θέλων, ἃ τὸ θεῖον αὐτοῦ ἤθελε θέλημα. Παραχωρούσης
willing which the divine his willed will permitting
γὰρ τῆς θείας θελήσεως, ἔπασχε τὰ ἴδια φυσικῶς. Ὅτε
for the divine will he-suffered the own(-things) naturally when
μὲν γὰρ παρῃτεῖτο τὸν θάνατον, φυσικῶς τῆς θείας αὐτοῦ
indeed for he-refused the death naturally the divine his
θελησάσης θελήσεως καὶ παραχωρησάσης, παρῃτήσατο τὸν
having-willed will and having-permitted he-refused the
θάνατον, ἠγωνίασέ τε καὶ ἐδειλίασε· καὶ ὅτε ἤθελεν ἡ
death he-was-in-agony both and was-afraid and when willed the
θεία αὐτοῦ θέλησις αἱρεῖσθαι τὴν ἀνθρωπίνην αὐτοῦ θέλησιν
divine his will to-choose the human his will
τὸν θάνατον, ἑκούσιον αὐτῇ τὸ πάθος ἐγένετο· οὐ γὰρ καθὸ
the death voluntary to-it the passion became not for as
Θεὸς μόνον ἑκουσίως ἑαυτὸν παρέδωκεν εἰς θάνατον, ἀλλὰ
God only voluntarily himself he-handed-over to death but
καὶ καθὸ ἄνθρωπος. Ὅθεν κατὰ θανάτου τόλμαν καὶ ἡμῖν
also as man whence against death courage also to-us

ἐχαρίσατο, οὕτω γοῦν πρὸ τοῦ σωτηρίου πάθους φησί·
he-granted so at-any-rate before the saving passion he-says
Πάτερ, εἰ δυνατὸν παρελθέτω ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο·
Father if possible let-it-pass from me the cup this
δηλονότι ὡς ἄνθρωπος τὸ ποτήριον πίνειν ἔμελλεν· οὐ γὰρ
evidently as man the cup to-drink he-was-about not for
ὡς Θεός. Ὡς ἄνθρωπος τοίνυν θέλει τὸ ποτήριον παρελθεῖν·
as God as man therefore he-wills the cup to-pass
ταῦτα τῆς φυσικῆς δειλίας τὰ ῥήματα· Πλὴν μὴ τὸ
these of-the natural timidity (are)-the words nevertheless not the
ἐμὸν γενέσθω θέλημα, ἤτοι καθ᾽ ὃ σοῦ ἑτεροούσιός
mine let-be-done will that-is according-to which than-you of-other-substance
εἰμι, ἀλλὰ τὸ σόν, ἤτοι τὸ ἐμὸν καὶ σόν, καθ᾽ ὃ
I-am but the yours that-is the mine and yours according-to which
σοὶ πέφυκα ὁμοούσιος· ταῦτα τῆς εὐτολμίας πάλιν
with-you I-am-by-nature consubstantial these of-the courage again
ῥήματα· πρότερον γὰρ τῆς φυσικῆς ἀσθενείας πειραθεῖσα,
(are)-the-words first for of-the natural weakness having-experienced
κατ᾽ αἴσθησιν τὴν ἐπὶ τῷ χωρισμῷ καὶ τοῦ σώματος
according-to sensation the at the separation also from-the body
καὶ φυσικὴν συμπάθειαν παθοῦσα ἡ τοῦ Κυρίου ψυχή,
and natural sympathy having-suffered the of-the Lord soul
ὡς ἀληθῶς ἀνθρώπου γενομένου κατ᾽ εὐδοκίαν αὐτοῦ·
as truly man having-become according-to good-pleasure his
αὖθις τῷ θείῳ νευρωθεῖσα θελήματι, τοῦ θανάτου
again by-the divine having-been-strengthened will against-the death
καταθαῤῥύνεται. Ἐπειδὴ γὰρ ὁ αὐτὸς ὅλος ἦν Θεὸς
takes-courage since for the same whole was God
μετὰ τῆς ἀνθρωπότητος αὐτοῦ, καὶ ὅλος ἄνθρωπος μετὰ
with the humanity his and whole man with
τῆς αὐτοῦ θεότητος, αὐτὸς ὡς ἄνθρωπος ἐν ἑαυτῷ καὶ
the his divinity he as man in himself and

δι᾽ ἑαυτοῦ ὑπέταξε τὸ ἀνθρώπινον τῷ Θεῷ καὶ Πατρί,
through himself subjected the human(-will) — to-God and Father
τύπον ἡμῖν ἑαυτὸν ἄριστον καὶ ὑπόγραμμον διδούς, καὶ
(a)-pattern to-us himself best and model giving and
ὑπήκοος τῷ Πατρὶ γέγονεν.
obedient to-the Father he-became
Αὐτεξουσίως δὲ ἤθελε τῷ θείῳ καὶ ἀνθρωπίνῳ θελήματι.
self-determiningly and he-willed by-the divine and human will
Πάσῃ γὰρ λογικῇ φύσει πάντως ἐμπέφυκε τὸ αὐτεξούσιον
to-every for rational nature certainly is-implanted the self-determining
θέλημα. Εἰς τί γὰρ ἕξει τὸ λογικόν, μὴ αὐτεξουσίως
will for what for will-have the rationality not self-determiningly
λογιζομένη; τὴν μὲν γὰρ φυσικὴν ὄρεξιν καὶ τοῖς ἀλόγοις
reasoning the indeed for natural appetite also to-the irrational
ζώοις ὁ Δημιουργὸς ἐνέσπειρε πρὸς σύστασιν τῆς οἰκείας
animals the Creator implanted for (the)-maintenance of-the own
φύσεως ἠναγκασμένως αὐτὰ ἄγουσαν. Λόγου γὰρ ἀμοιροῦντα
nature by-compulsion them leading reason for not-sharing
οὐ δύναται ἄγειν, ἀλλ᾽ ἄγεται ὑπὸ τῆς φυσικῆς ὀρέξεως.
not can lead but is-led by the natural appetite
Ὅθεν ἅμα ἡ ὄρεξις γένηται, εὐθέως καὶ ἡ πρὸς τὴν πρᾶξιν
whence as-soon-as the appetite arises at-once also the toward the action
ὁρμή· οὐ γὰρ λόγῳ, ἢ βουλῇ, ἢ σκέψει, ἢ κρίσει κέχρηται.
impulse not for reason or counsel or consideration or judgment it-uses
Ὅθεν οὔτε ὡς ἀρετὴν μετιόντα ἐπαινεῖται, καὶ μακαρίζεται,
whence neither as virtue pursuing is-praised and is-blessed
οὔτε ὡς κακίαν πράττοντα κολάζεται. Ἡ δὲ λογικὴ φύσις
nor as wickedness doing is-punished the but rational nature
ἔχει μὲν τὴν φυσικὴν ὄρεξιν κινουμένην, ὑπὸ δὲ τοῦ Λόγου
has indeed the natural appetite being-moved by but the Reason
ἀγομένην τε καὶ ῥυθμιζομένην ἐπὶ τῶν φυλασσόντων
being-led both and regulated in-the-case-of the(-ones) keeping

τὸ κατὰ φύσιν· τοῦ γὰρ Λόγου προτέρημα τοῦτό ἐστιν,
the according-to nature of-the for Reason (the)-advantage this is
ἡ αὐτεξούσιος θέλησις, ἥντινα φυσικὴν ἐν τῷ λογικῷ
the self-determining will which natural in the rational
φαμεν κίνησιν· διὸ καὶ ὡς ἀρετὴν μετιοῦσα ἐπαινεῖται
we-call motion therefore also as virtue pursuing it-is-praised
καὶ μακαρίζεται, καὶ ὡς κακίαν μετιοῦσα κολάζεται.
and is-blessed and as wickedness pursuing it-is-punished
Ὥστε ἤθελε μὲν αὐτεξουσίως κινουμένη ἡ τοῦ Κυρίου
so-that willed indeed self-determiningly being-moved the of-the Lord
ψυχή, ἀλλ' ἐκεῖνα αὐτεξουσίως ἤθελεν, ἃ ἡ θεία αὐτοῦ
soul but those-things self-determiningly it-willed which the divine his
θέλησις ἤθελε θέλειν αὐτήν. Οὐ γὰρ νεύματι τοῦ Λόγου
will willed (that)-to-will it not for by-(the)-nod of-the Word
ἡ σὰρξ ἐκινεῖτο· καὶ Μωϋσῆς γὰρ καὶ πάντες οἱ ἅγιοι
the flesh was-moved also Moses for and all the saints
νεύματι θείῳ ἐκινοῦντο· ἀλλ' ὁ αὐτὸς εἷς ὢν Θεός τε
by-(the)-nod divine were-moved but the same one being God both
καὶ ἄνθρωπος, κατά τε τὴν θείαν καὶ τὴν ἀνθρωπίνην
and man according-to both the divine and the human
ἤθελε θέλησιν· διὸ οὐ γνώμῃ, φυσικῇ δὲ μᾶλλον
willed will therefore not in-inclination natural but rather
δυνάμει, αἱ δύο τοῦ Κυρίου θελήσεις διέφερον ἀλλήλων.
in-power the two of-the Lord wills differed from-one-another
Ἡ μὲν γὰρ θεία αὐτοῦ θέλησις ἄναρχός τε καὶ
the indeed for divine his will without-beginning both and
παντουργὸς ἦν, ἑπομένην ἔχουσα τὴν δύναμιν, καὶ ἀπαθής·
all-working was following having the power and impassible
ἡ δὲ ἀνθρωπίνη αὐτοῦ θέλησις ὑπὸ χρόνου ἤρξατο,
the but human his will by time began
καὶ αὐτὴ τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη ὑπέμεινε, καὶ
and itself the natural and blameless passions endured and

φυσικῶς μὲν οὐ παντοδύναμος ἦν, ὡς δὲ τοῦ Θεοῦ Λόγου
naturally indeed not all-powerful it-was as but — of-God Word
ἀληθῶς καὶ κατὰ φύσιν γενομένη, καὶ παντοδύναμος.
truly and according-to nature having-become also all-powerful

Περὶ τῆς Θεανδρικῆς ἐνεργείας

LXIII · THE DIVINE-HUMAN ACTIVITY

Dionysius' "new divine-human activity" does not abolish the two natural activities or make one from both, but shows the new and ineffable way the natures act together, neither humanly alone nor divinely alone. Christ acts in each nature with the other's communion: the divine nature shares the flesh's acts by permitting them and making them saving, and the flesh shares the divinity's as its instrument. His mind also knows that it is God's mind. The phrase is a periphrasis that embraces two in one expression, as we speak of the burning cut of a red-hot sword.

Ὁ μακάριος Διονύσιος καινήν τινα θεανδρικὴν ἐνέργειαν
the blessed Dionysius (a)-new some divine-human activity
φήσας τὸν Χριστὸν ἡμῖν πεπολιτευμένον, οὐκ ἀναιρῶν τὰς
having-said — Christ to-us to-have-lived not abolishing the
φυσικὰς ἐνεργείας, μίαν ἐνέργειαν ἔκ τε τῆς ἀνθρωπίνης
natural activities one activity from both the human
καὶ θείας γεγενημένην φησίν· οὕτω γὰρ ἂν καὶ μίαν
and divine having-come-to-be he-says so for — also one
φύσιν εἴποιμεν καινήν, ἐκ θείας τε καὶ ἀνθρωπίνης
nature we-would-call new from divine both and human
γεγενημένην· ὧν γὰρ ἐνέργεια μία, τούτων καὶ ἡ
having-come-to-be of-which for (the)-activity (is)-one of-these also the
οὐσία μία, κατὰ τοὺς ἁγίους Πατέρας· ἀλλὰ θέλων
substance (is)-one according-to the holy Fathers but wishing
δεῖξαι τὸν καινὸν καὶ ἀπόῤῥητον τρόπον τῆς τῶν φυσικῶν
to-show the new and ineffable mode of-the of-the natural

τοῦ Χριστοῦ ἐνεργειῶν ἐκφάνσεως, τῷ ἀποῤῥήτῳ τρόπῳ
— of-Christ activities manifestation to-the ineffable mode
τῆς εἰς ἄλληλα τῶν τοῦ Χριστοῦ φύσεων περιχωρήσεως
of-the into one-another of-the — of-Christ natures interpenetration
προσφόρως, καὶ τὴν κατὰ ἄνθρωπον αὐτοῦ πολιτείαν
fittingly and the according-to man his conduct
ξένην καὶ παράδοξον, καὶ τῇ φύσει τῶν ὄντων ἄγνωστον,
strange and paradoxical and to-the nature of-the beings unknown
τόν τε τρόπον τῆς κατὰ τὴν ἀπόῤῥητον ἕνωσιν
the both mode of-the according-to the ineffable union
ἀντιδόσεως· οὐ γὰρ διῃρημένας φαμὲν τὰς ἐνεργείας, οὐδὲ
exchange not for divided we-say the activities nor
διῃρημένως ἐνεργούσας τὰς φύσεις, ἀλλ' ἡνωμένως ἑκάστην
dividedly acting the natures but unitedly each
μετὰ τῆς θατέρου κοινωνίας ἐνεργοῦσαν τοῦθ' ὅπερ ἴδιον
with the of-the-other communion working that which own
ἔσχηκεν. Οὔτε γὰρ τὰ ἀνθρώπινα ἀνθρωπίνως ἐνήργησεν·
it-has neither for the human(-things) humanly he-wrought
οὐ γὰρ ψιλὸς ἦν ἄνθρωπος· οὔτε τὰ θεῖα κατὰ
not for mere he-was man nor the divine(-things) according-to
Θεὸν μόνον· οὐ γὰρ ἦν γυμνὸς Θεός, ἀλλὰ Θεὸς ὁμοῦ
God only not for he-was bare God but God together
ὑπάρχων καὶ ἄνθρωπος. Ὥσπερ γὰρ τῶν φύσεων, καὶ
being and man as for of-the natures both
τὴν ἕνωσιν, καὶ τὴν φυσικὴν διαφορὰν ἐπιστάμεθα, οὕτω
the union and the natural difference we-know so
καὶ τῶν φυσικῶν θελημάτων τε καὶ ἐνεργειῶν.
also of-the natural wills both and activities
Ἰστέον τοιγαροῦν, ὡς ἐπὶ τοῦ Κυρίου ἡμῶν
(one)-must-know therefore that in-the-case-of the Lord our
Ἰησοῦ Χριστοῦ, ποτὲ μὲν ὡς ἐπὶ δύο φύσεων τὸν λόγον
Jesus Christ sometimes indeed as of two natures the discourse

ποιούμεθα, ποτὲ δὲ ὡς ἐφ' ἑνὸς προσώπου, καὶ τοῦτο δὲ
we-make sometimes but as of one person and this too
κἀκεῖνο εἰς μίαν ἀναφέρεται ἔννοιαν· αἱ γὰρ δύο φύσεις εἷς
that to one is-referred notion the for two natures one
ἐστι Χριστός, καὶ ὁ εἷς Χριστὸς δύο φύσεις ἐστί· ταὐτὸν
is Christ and the one Christ two natures is the-same
οὖν ἐστιν εἰπεῖν· ἐνεργεῖ ὁ Χριστὸς καθ' ἑκατέραν τῶν
then (it-is) to-say acts — Christ according-to each of-the
αὐτοῦ φύσεων, καὶ ἐνεργεῖ ἑκατέρα φύσις ἐν τῷ Χριστῷ
his natures and acts each nature in — Christ
μετὰ τῆς θατέρου κοινωνίας. Κοινωνεῖ τοίνυν ἡ μὲν θεία
with the of-the-other communion shares therefore the indeed divine
φύσις τῇ σαρκὶ ἐνεργούσῃ διὰ τὸ εὐδοκίᾳ τῆς
nature with-the flesh acting because-of the by-good-pleasure of-the
θείας θελήσεως παραχωρεῖσθαι πάσχειν καὶ πράττειν τὰ
divine will to-be-permitted to-suffer and to-do the
ἴδια, καὶ διὰ τὸ τὴν ἐνέργειαν τῆς σαρκὸς πάντως
own(-things) and because-of the the activity of-the flesh certainly
εἶναι σωτήριον· ὅπερ οὐ τῆς ἀνθρωπίνης ἐνεργείας ἐστίν,
to-be saving which not of-the human activity is
ἀλλὰ τῆς θείας. Ἡ δὲ σὰρξ τῇ θεότητι τοῦ Λόγου
but of-the divine the but flesh with-the divinity of-the Word
ἐνεργούσῃ, διά τε τὸ ὡς δι' ὀργάνου τοῦ σώματος
acting because-of both the as through (an)-instrument the body
τὰς θείας ἐκτελεῖσθαι ἐνεργείας, καὶ διὰ τὸ ἕνα εἶναι
the divine to-be-accomplished activities and because-of the one to-be
τὸν ἐνεργοῦντα θεϊκῶς τε ἅμα, καὶ ἀνθρωπίνως.
the(-one) acting divinely both together and humanly
Εἰδέναι δὲ χρὴ ὡς ὁ ἅγιος αὐτοῦ νοῦς καὶ τὰς φυσικὰς
to-know and (one)-must that the holy his mind also the natural
αὐτοῦ ἐνεργεῖ ἐνεργείας, νοῶν τε καὶ γινώσκων ὅτι ἐστὶ
his performs activities thinking both and knowing that it-is

Θεοῦ νοῦς, καὶ ὅτι ὑπὸ πάσης προσκυνεῖται τῆς κτίσεως,
God's mind and that by all is-venerated the creation
καὶ μεμνημένος τῶν ἐπὶ τῆς γῆς αὐτοῦ διατριβῶν τε καὶ
and remembering the on the earth his sojournings both and
παθῶν, κοινωνεῖ δὲ ἐνεργούσῃ τῇ τοῦ Λόγου θεότητι, καὶ
sufferings it-shares and with-the-acting the of-the Word divinity and
διεπούσῃ καὶ κυβερνώσῃ τὸ πᾶν, νοῶν, καὶ γινώσκων,
ordering and governing the all thinking and knowing
καὶ διέπων, οὐχ ὡς ψιλὸς ἀνθρώπου νοῦς, ἀλλ' ὡς Θεῷ
and ordering not as mere (a)-man's mind but as with-God
καθ' ὑπόστασιν ἡνωμένος, καὶ Θεοῦ νοῦς χρηματίσας.
according-to hypostasis united and God's mind having-become
Τοῦτο οὖν δηλοῖ ἡ θεανδρικὴ ἐνέργεια, ὅτι ἀνδρωθέντος
this then shows the divine-human activity that having-become-man
Θεοῦ, ἤγουν ἐνανθρωπήσαντος, καὶ ἡ ἀνθρωπίνη αὐτοῦ
God that-is having-become-man also the human his
ἐνέργεια θεία ἦν, ἤγουν τεθεωμένη, καὶ οὐκ ἄμοιρος τῆς
activity divine was that-is deified and not without-share of-the
θείας αὐτοῦ ἐνεργείας, καὶ ἡ θεία αὐτοῦ ἐνέργεια οὐκ
divine his activity and the divine his activity not
ἄμοιρος τῆς ἀνθρωπίνης αὐτοῦ ἐνεργείας, ἀλλ' ἑκατέρα
without-share of-the human his activity but each
σὺν τῇ ἑτέρᾳ θεωρουμένη. Λέγεται δὲ ὁ τρόπος οὗτος
with the other contemplated is-called and the mode this
περίφρασις, ὅταν τις δύο τινὰ διὰ μιᾶς περιλάβῃ λέξεως.
(a)-periphrasis when one two things through one embraces expression
Ὥσπερ γὰρ μίαν τὴν τετμημένην καῦσιν λέγομεν, καὶ τὴν
as for one the cut burning we-say and the
κεκαυμένην τομὴν τῆς πεπυρακτωμένης μαχαίρας, ἄλλην
burnt cut of-the red-hot sword another
δὲ ἐνέργειάν φαμεν τὴν τομήν, καὶ ἄλλην τὴν καῦσιν, καὶ
but activity we-say the cut and another the burning and

ἄλλης καὶ ἄλλης φύσεως, τοῦ μὲν πυρὸς τὴν καῦσιν,
of-another and another nature of-the indeed fire the burning
τοῦ δὲ σιδήρου τὴν τομήν, οὕτω καὶ μίαν τοῦ Χριστοῦ
of-the but iron the cut so also one — of-Christ
θεανδρικὴν ἐνέργειαν λέγοντες, δύο τὰς ἐνεργείας νοοῦμεν
divine-human activity saying two the activities we-understand
τῶν δύο φύσεων αὐτοῦ, τῆς μὲν θεότητος αὐτοῦ, τὴν θείαν,
of-the two natures his of-the indeed divinity his the divine
τῆς δὲ ἀνθρωπότητος αὐτοῦ, τὴν ἀνθρωπίνην ἐνέργειαν.
of-the but humanity his the human activity

Περὶ τῶν φυσικῶν καὶ ἀδιαβλήτων παθῶν

LXIV · THE NATURAL AND BLAMELESS PASSIONS

The Lord assumed all the natural and blameless passions, the whole man except sin, which is not natural but sown by the devil in our choice: hunger, thirst, weariness, tears, shrinking from death, fear, agony, and sweat like drops of blood. He assumed all to sanctify all, and was tempted and conquered to give our nature power over the enemy, who assailed him only from outside. In him the passions were natural and above nature, for none came before his will: he hungered, thirsted, feared, and died willingly.

Ὁμολογοῦμεν δέ, ὅτι πάντα τὰ φυσικὰ καὶ ἀδιάβλητα
we-confess and that all the natural and blameless
πάθη τοῦ ἀνθρώπου ἀνέλαβεν. Ὅλον γὰρ τὸν ἄνθρωπον,
passions of-the man he-assumed whole for the man
καὶ πάντα τὰ τοῦ ἀνθρώπου ἀνέλαβε, πλὴν τῆς
and all the(-things) of-the man he-assumed except the
ἁμαρτίας. Αὕτη γὰρ οὐ φυσική ἐστιν, οὐδὲ ὑπὸ τοῦ
sin this for not natural is nor by the
Δημιουργοῦ ἡμῖν ἐνσπαρεῖσα, ἀλλ᾽ ἐκ τῆς τοῦ διαβόλου
Creator in-us sown but from the of-the devil

ἐπισπορᾶς ἐν τῇ ἡμετέρᾳ προαιρέσει ἑκουσίως συνισταμένη,
oversowing in the our choice voluntarily arising
οὐ βίᾳ ἡμῶν κρατοῦσα. Φυσικὰ δὲ καὶ ἀδιάβλητα
not by-force us mastering natural and also blameless
πάθη εἰσί, τὰ οὐκ ἐφ' ἡμῖν, ὅσα ἐκ τῆς ἐπὶ
passions are the(-ones) not in our-power as-many-as from the for
τῇ παραβάσει κατακρίσεως εἰς τὸν ἀνθρώπινον εἰσῆλθε
the transgression condemnation into the human entered
βίον· οἷον πεῖνα, δίψα, κόπος, πόνος, τὸ δάκρυον, ἡ
life as-for-instance hunger thirst weariness toil the tear the
φθορά, ἡ τοῦ θανάτου παραίτησις, ἡ δειλία, ἡ ἀγωνία,
corruption the of-the death shrinking the fear the agony
ἐξ ἧς οἱ ἱδρῶτες, οἱ θρόμβοι τοῦ αἵματος, ἡ διὰ τὸ
from which the sweats the drops of-the blood the because-of the
ἀσθενὲς τῆς φύσεως ὑπὸ τῶν ἀγγέλων βοήθεια, καὶ τὰ
weakness of-the nature by the angels help and the
τοιαῦτα, ἅτινα πᾶσι τοῖς ἀνθρώποις φυσικῶς ἐνυπάρχουσι.
such which in-all the men naturally inhere
Πάντα τοίνυν ἀνέλαβεν, ἵνα πάντα ἁγιάσῃ. Ἐπειράσθη
all(-things) therefore he-assumed that all(-things) he-might-sanctify he-was-tempted
καὶ ἐνίκησεν, ἵνα ἡμῖν τὴν νίκην πραγματεύσηται, καὶ
and conquered that for-us the victory he-might-procure and
δῷ τῇ φύσει δύναμιν νικᾶν τὸν ἀντίπαλον, ὅπως ἡ
might-give to-the nature power to-conquer the adversary so-that the
φύσις ἡ πάλαι νικηθεῖσα, δι' ὧν προσβολῶν ἐνικήθη,
nature the long-ago conquered through what assaults it-was-conquered
διὰ τούτων νικήσῃ τὸν πάλαι νικήσαντα.
through these might-conquer the(-one) long-ago having-conquered(-it)
Ὁ μὲν οὖν πονηρὸς ἔξωθεν προσέβαλεν, οὐ διὰ λογισμῶν,
the indeed then evil(-one) from-outside assailed not through thoughts
ὥσπερ καὶ τῷ Ἀδάμ· κἀκείνῳ γάρ, οὐ διὰ λογισμῶν,
as also — to-Adam and-to-that(-one) for not through thoughts

ἀλλὰ διὰ τοῦ ὄφεως· ὁ δὲ Κύριος τὴν προσβολὴν
but through the serpent the but Lord the assault
ἀπεκρούσατο, καὶ ὡς καπνὸν διέλυσεν, ἵνα προσβαλόντα
repelled and as smoke dissolved that having-assailed
αὐτῷ τὰ πάθη, καὶ νικηθέντα, καὶ ἡμῖν εὐκαταγώνιστα
him the passions and having-been-conquered also for-us easily-conquered
γένηται, καὶ ὁ νέος Ἀδὰμ τὸν παλαιὸν ἀνασώσηται.
might-become and the new Adam the old might-save
Ἀμέλει τὰ φυσικὰ ἡμῶν πάθη κατὰ φύσιν, καὶ ὑπὲρ
indeed the natural our passions according-to nature and above
φύσιν ἦσαν ἐν τῷ Χριστῷ. Κατὰ φύσιν μὲν γὰρ
nature were in — Christ according-to nature indeed for
ἐκινεῖτο ἐν αὐτῷ, ὅτε παρεχώρει τῇ σαρκὶ παθεῖν τὰ
they-were-moved in him when he-allowed the flesh to-suffer the
ἴδια· ὑπὲρ φύσιν δέ, ὅτι οὐ προηγεῖτο ἐν τῷ Κυρίῳ
own(-things) above nature but because not preceded in the Lord
τῆς θελήσεως τὰ φυσικά· οὐδὲν γὰρ ἠναγκασμένον
the will the natural(-things) nothing for compelled
ἐπ᾽ αὐτοῦ θεωρεῖται, ἀλλὰ πάντα ἑκούσια. Θέλων γὰρ
in him is-seen but all(-things) voluntary willing for
ἐπείνησε, θέλων ἐδίψησε, θέλων ἐδειλίασε, θέλων ἀπέθανεν.
he-hungered willing he-thirsted willing he-feared willing he-died

Περὶ ἀγνοίας καὶ δουλείας

LXV · IGNORANCE AND SERVITUDE

He assumed a nature that is servile and ignorant of the future, and in thought it may be called so; but through the union his soul was enriched with knowledge of the future, as his mortal flesh became life-giving. Nor can we call him a servant, since servitude and lordship name relations, not natures: one Christ cannot be his

own servant and Lord, nor the Father's servant. He took a servant's form and served our sufferings for us; those who call him a servant divide him, as Nestorius did, but we call him Lord of all creation.

Δεῖ γινώσκειν ὅτι τὴν μὲν ἀγνοοῦσαν καὶ δούλην
(one)-must know that the indeed ignorant and servile
ἀνέλαβεν φύσιν· καὶ γὰρ δούλη ἐστὶν ἡ ἀνθρώπου φύσις τοῦ
he-assumed nature and for servile is the of-man nature to-the
ποιήσαντος αὐτὴν Θεοῦ, καὶ οὐκ ἔχει τὴν τῶν μελλόντων
having-made it God and not has the of-the future(-things)
γνῶσιν. Ἐὰν οὖν, κατὰ τὸν Θεολόγον Γρηγόριον, χωρίσῃς
knowledge if then according-to the Theologian Gregory you-separate
τὸ ὁρώμενον τοῦ νοουμένου, δούλη τε λέγεται καὶ
the(-thing) seen from-the(-thing) thought servile both is-called and
ἀγνοοῦσα ἡ σάρξ, διὰ δὲ τὴν τῆς ὑποστάσεως ταυτότητα,
ignorant the flesh because-of but the of-the hypostasis sameness
καὶ τὴν ἀδιάσπαστον ἕνωσιν κατεπλούτησεν ἡ τοῦ Κυρίου
and the inseparable union was-enriched the of-the Lord
ψυχὴ τὴν τῶν μελλόντων γνῶσιν, ὡς καὶ τὰς λοιπὰς
soul with-the of-the future(-things) knowledge as also the other
θεοσημείας. Ὥσπερ γὰρ ἡ σὰρξ τῶν ἀνθρώπων κατὰ
divine-signs as for the flesh of-the men according-to
τὴν οἰκείαν φύσιν οὐκ ἔστι ζωοποιός, ἡ δὲ τοῦ Κυρίου
the own nature not is life-giving the but of-the Lord
σὰρξ ἑνωθεῖσα καθ' ὑπόστασιν αὐτῷ τῷ Θεῷ Λόγῳ,
flesh united according-to hypostasis to-the-very — God Word
τῆς μὲν κατὰ φύσιν θνητότητος οὐκ ἀπέστη, ζωοποιὸς
from-the indeed according-to nature mortality not departed life-giving
δὲ γέγονε, διὰ τὴν πρὸς τὸν Λόγον καθ' ὑπόστασιν
but has-become because-of the toward the Word according-to hypostasis
ἕνωσιν, καὶ οὐ δυνάμεθα λέγειν ὅτι οὐκ ἦν καὶ ἔστιν
union and not we-can say that not it-was and is

ἀεὶ ζωοποιός· οὕτως ἡ μὲν ἀνθρωπίνη φύσις οὐσιωδῶς
always life-giving so the indeed human nature substantially
οὐ κέκτηται τὴν τῶν μελλόντων γνῶσιν· ἡ δὲ τοῦ Κυρίου
not possesses the of-the future(-things) knowledge the but of-the Lord
ψυχὴ διὰ τὴν πρὸς αὐτὸν τὸν Θεὸν Λόγον ἕνωσιν, καὶ
soul because-of the toward himself — God Word union and
τὴν ὑποστατικὴν ταυτότητα κατεπλούτησεν, ὡς ἔφην, μετὰ
the hypostatic sameness was-enriched as I-said with
τῶν λοιπῶν θεοσημειῶν, καὶ τὴν τῶν μελλόντων γνῶσιν.
the other divine-signs also the of-the future(-things) knowledge
Ἰστέον δὲ ὅτι οὐδὲ δοῦλον αὐτὸν λέγειν δυνάμεθα· τὸ
(one)-must-know and that not-even (a)-servant him to-call we-can the
γὰρ τῆς δουλείας καὶ τῆς δεσποτείας ὄνομα οὐ φύσεώς εἰσι
for of-the servitude and of-the lordship name not of-nature are
γνωρίσματα, ἀλλὰ τῶν πρός τι, ὥσπερ τὸ τῆς
marks but of-the(-things) relative-to something as the of-the
πατρότητος καὶ τὸ τῆς υἱότητος. Ταῦτα γὰρ οὐκ οὐσίας,
fatherhood and the of-the sonship these for not of-substance
ἀλλὰ σχέσεώς ἐστι δηλωτικά. Ὥσπερ οὖν καὶ ἐπὶ
but of-relation are indicative as then also in-the-case-of
τῆς ἀγνοίας εἴπομεν, ὅτι ἐὰν ἰσχναῖς ἐπινοίαις, ἤτοι νοῦ
the ignorance we-said that if by-subtle thoughts that-is of-mind
λεπταῖς φαντασίαις, διέλῃς τὸ κτιστὸν ἐκ τοῦ ἀκτίστου,
fine imaginings you-divide the created from the uncreated
δούλη ἐστὶν ἡ σάρξ, εἰ μὴ ἥνωτο τῷ Θεῷ Λόγῳ·
servile is the flesh if not it-had-been-united — to-God Word
ἅπαξ δὲ ἑνωθεῖσα καθ' ὑπόστασιν, πῶς ἔσται δούλη;
once but having-been-united according-to hypostasis how will-it-be servile
Εἷς γὰρ ὢν ὁ Χριστός, οὐ δύναται δοῦλος ἑαυτοῦ εἶναι
one for being — Christ not can (a)-servant of-himself be
καὶ Κύριος· ταῦτα γὰρ οὐ τῶν ἁπλῶς λεγομένων εἰσίν,
and Lord these for not of-the(-things) simply said are

ἀλλὰ τῶν πρὸς ἕτερον. Τίνος οὖν ἔσται δοῦλος;
but of-the(-things) relative-to another of-whom then will-he-be (a)-servant
Τοῦ Πατρός; Οὐκοῦν οὐ πάντα ὅσα ἔχει ὁ Πατὴρ καὶ
of-the Father then not all(-things) as-many-as has the Father also
τοῦ Υἱοῦ εἰσιν, εἴπερ τοῦ Πατρός ἐστι δοῦλος, ἑαυτοῦ δὲ
of-the Son are if-indeed of-the Father he-is (a)-servant of-himself but
οὐδαμῶς. Πῶς δὲ περὶ ἡμῶν λέγει ὁ Ἀπόστολος· Ὥστε
in-no-way how and about us says the Apostle so-that
οὐκέτι εἶ δοῦλος, ἀλλ' υἱός, δι' αὐτοῦ υἱοτεθέντων,
no-longer you-are (a)-servant but (a)-son through him made-sons
εἴπερ αὐτὸς δοῦλός ἐστι; Προσηγορικῶς οὖν λέγεται
if-indeed he (a)-servant is by-appellation then he-is-called
δοῦλος, οὐκ αὐτὸς ὢν τοῦτο, δι' ἡμᾶς δὲ δούλου μορφὴν
(a)-servant not himself being this for us but (a)-servant's form
εἰληφώς, καὶ δοῦλος μεθ' ἡμῶν κεκλημένος. Ἀπαθὴς
having-taken and servant with us called impassible
γὰρ ὤν, δι' ἡμᾶς ἐδούλευσε πάθεσι, καὶ διάκονος τῆς
for being for us he-served sufferings and minister of-the
ἡμῶν σωτηρίας γέγονεν. Οἱ δὲ λέγοντες αὐτὸν δοῦλον
our salvation he-became the(-ones) but calling him (a)-servant
διιστῶσι τὸν ἕνα Χριστὸν εἰς δύο, καθάπερ Νεστόριος.
divide the one Christ into two as Nestorius
Ἡμεῖς δὲ Δεσπότην αὐτόν φαμεν καὶ Κύριον πάσης τῆς
we but Master him we-call and Lord of-all the
κτίσεως, τὸν ἕνα Χριστόν, τὸν αὐτὸν ὁμοῦ Θεόν τε καὶ
creation the one Christ the same together God both and
ἄνθρωπον, καὶ πάντα εἰδέναι· Ἐν αὐτῷ γάρ εἰσι πάντες
man and all(-things) to-know in him for are all
οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως, οἱ ἀπόκρυφοι.
the treasures of-the wisdom and of-the knowledge the hidden

Περὶ προκοπῆς

LXVI · PROGRESS

He is said to have advanced in wisdom, stature, and grace: in stature he grew, and through that growth made his indwelling wisdom manifest, and he made the progress of men in wisdom and grace, and their salvation, his own. Those who say he received additions of wisdom and grace deny that the union began with the very existence of the flesh, and follow Nestorius in a mere relation or indwelling; but a flesh united in hypostasis from its beginning was perfectly enriched with all wisdom and grace.

Προκόπτειν δὲ λέγεται σοφίᾳ, καὶ ἡλικίᾳ, καὶ χάριτι, τῇ
to-advance and he-is-said in-wisdom and stature and grace in-the
μὲν ἡλικίᾳ αὔξων, διὰ δὲ τῆς αὐξήσεως τῆς ἡλικίας τὴν
indeed stature growing through but the growth of-the stature the
ἐνυπάρχουσαν αὐτῷ σοφίαν εἰς φανέρωσιν ἄγων· ἔτι δὲ
inhering in-him wisdom to manifestation bringing further and
τὴν τῶν ἀνθρώπων ἐν σοφίᾳ καὶ χάριτι προκοπήν, καὶ
the of-the men in wisdom and grace advance and
τὴν τελείωσιν τῆς τοῦ Πατρὸς εὐδοκίας, ἤγουν τὴν τῶν
the fulfillment of-the of-the Father good-pleasure that-is the of-the
ἀνθρώπων θεογνωσίαν τε καὶ σωτηρίαν, οἰκείαν προκοπὴν
men knowledge-of-God both and salvation his-own advance
ποιούμενος, καὶ οἰκειούμενος πανταχοῦ τὸ ἡμέτερον. Οἱ
making and appropriating everywhere the ours the(-ones)
δὲ προκόπτειν αὐτὸν λέγοντες σοφίᾳ καὶ χάριτι, ὡς
but to-advance him saying in-wisdom and grace as
προσθήκην τούτων δεχόμενον, οὐκ ἐξ ἄκρας ὑπάρξεως
addition of-these receiving not from (the)-very existence
τῆς σαρκὸς γεγενῆσθαι τὴν ἕνωσιν λέγουσιν, οὐδὲ τὴν
of-the flesh to-have-come-about the union say nor the
καθ' ὑπόστασιν, ἕνωσιν πρεσβεύουσι, Νεστορίῳ δὲ
according-to hypostasis union they-honor to-Nestorius but

τῷ ματαιόφρονι πειθόμενοι, σχετικὴν ἕνωσιν, καὶ ψιλὴν
the vain-minded being-persuaded (a)-relative union and mere
ἐνοίκησιν τερατεύονται, μὴ γινώσκοντες μήτε ἃ λέγουσι,
indwelling they-tell-of-marvels not knowing neither what they-say
μήτε περὶ τίνων διαβεβαιοῦνται. Εἰ γὰρ ἀληθῶς ἡνώθη τῷ
nor about what they-affirm if for truly was-united —
Θεῷ Λόγῳ ἡ σὰρξ ἐξ ἄκρας ὑπάρξεως, μᾶλλον δὲ ἐν αὐτῷ
to-God Word the flesh from (the)-very existence rather but in him
ὑπῆρξε καὶ τὴν ὑποστατικὴν πρὸς αὐτὴν ἔσχε ταυτότητα,
it-existed and the hypostatic toward it had sameness
πῶς οὐ τελείως κατεπλούτησε πᾶσαν σοφίαν καὶ χάριν;
how not perfectly was-it-enriched-with all wisdom and grace
Οὐκ αὐτὴ τῆς χάριτος μεταλαμβάνουσα, οὐδὲ κατὰ χάριν
not itself of-the grace partaking nor by grace
τῶν τοῦ Λόγου μετέχουσα, ἀλλὰ μᾶλλον διὰ τὴν καθ᾽
of-the of-the Word sharing but rather through the according-to
ὑπόστασιν ἕνωσιν τῶν τε ἀνθρωπίνων, τῶν τε θείων
hypostasis union the both human the and divine(-things)
τοῦ ἑνὸς Χριστοῦ γεγονότων· ἐπειδὴ ὁ αὐτὸς ἦν Θεός τε
of-the one Christ having-become since the same was God both
ὁμοῦ καὶ ἄνθρωπος τὴν χάριν, καὶ τὴν σοφίαν, καὶ πάντων
together and man the grace and the wisdom and of-all
τῶν ἀγαθῶν τὴν πληρότητα τῷ κόσμῳ πηγάζουσα.
the goods the fullness to-the world pouring-forth

Περὶ δειλίας

LXVII · FEAR

Fear is of two kinds. Natural fear is the soul's unwillingness to be parted from the body, the contraction by which a being holds to its existence; the Word made man had this, desiring food and sleep and shrinking from death in the passion, but willingly, not by compulsion, so it was blameless. The other kind, born of failing thoughts, unbelief, and ignorance of the hour of death, is against nature, and this the Lord never admitted, though he sometimes drew back by dispensation. Athanasius says he truly feared, for divinity admits no passion without a suffering body, nor trouble without a troubled soul and mind.

Τὸ τῆς δειλίας ὄνομα διπλῆν ἔχει τὴν ἔννοιαν. Ἔστι γὰρ
the of-the fear name twofold has the meaning there-is for
δειλία φυσική, μὴ θελούσης τῆς ψυχῆς διαιρεθῆναι τοῦ
fear natural not willing the soul to-be-divided from-the
σώματος, διὰ τὴν ἐξ ἀρχῆς ὑπὸ τοῦ Δημιουργοῦ
body because-of the from (the)-beginning by the Creator
ἐντεθεῖσαν αὐτῇ φυσικὴν συμπάθειάν τε καὶ οἰκειότητα,
implanted in-it natural sympathy both and affinity
δι' ἣν φυσικῶς φοβεῖται καὶ ἀγωνιᾷ καὶ παραιτεῖται
through which naturally it-fears and is-in-agony and shrinks-from
τὸν θάνατον, ἧς ὅρος· κατὰ φύσιν δειλία ἐστὶ
the death of-which (the)-definition according-to nature fear is
δύναμις κατὰ συστολὴν τοῦ ὄντος ἀνθεκτική. Εἰ γὰρ ἐκ
(a)-power by contraction of-the being holding-fast if for from
τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη ὑπὸ τοῦ Δημιουργοῦ
the not being into the to-be were-brought by the Creator
τὰ πάντα, τοῦ εἶναι, καὶ οὐ τοῦ μὴ εἶναι τὴν ἔφεσιν
the all(-things) of-the being and not of-the not being the desire
ἔχει φυσικῶς. Τούτων δὲ κατὰ φύσιν ἴδιον, ἡ
they-have naturally of-these and according-to nature proper (is)-the

πρὸς τὰ συστατικὰ ὁρμή· καὶ ὁ Θεὸς Λόγος τοίνυν
toward the constitutive(-things) impulse and — God Word therefore
ἄνθρωπος γενόμενος ἔσχε ταύτην τὴν ἔφεσιν, ἐν μὲν τοῖς
man having-become had this the desire in indeed the
συστατικοῖς τῆς φύσεως τὴν ὁρμὴν ἐνδειξάμενος βρώσεώς
constitutive(-things) of-the nature the impulse having-shown of-food
τε καὶ πόσεως, ὕπνου τε ἐφιέμενος, καὶ φυσικῶς ἐν
both and drink of-sleep both desiring and naturally in
πείρᾳ τούτων γενόμενος· ἐν δὲ τοῖς φθαρτικοῖς τὴν
experience of-these having-come in but the destructive(-things) the
ἀφορμήν, ὡς ἐν τῷ καιρῷ πάθους ἑκουσίως τὴν πρὸς τὸν
aversion as at the time of-passion voluntarily the toward the
θάνατον συστολὴν ποιήσασθαι. Εἰ γὰρ καὶ νόμῳ φύσεως
death contraction to-make if for even by-law of-nature
ἐγίνετο τὰ γινόμενα, ἀλλ' οὐ καθ' ἡμᾶς ἠναγκασμένως.
came-about the(-things) happening yet not like us compulsorily
Ἑκουσίως γὰρ τὰ φυσικὰ θέλων κατεδέξατο. Ὥστε
voluntarily for the natural(-things) willing he-accepted so-that
αὐτὴ ἡ δειλία, καὶ ὁ φόβος, καὶ ἡ ἀγωνία, τῶν φυσικῶν
itself the fear and the dread and the agony of-the natural
ἐστι καὶ ἀδιαβλήτων παθῶν, καὶ μὴ ὑποκειμένων ἁμαρτίᾳ.
is and blameless passions and not subject to-sin
Ἔστι πάλιν δειλία, ἡ ἐκ προδοσίας λογισμῶν συνισταμένη,
there-is again fear the from betrayal of-thoughts arising
καὶ ἀπιστίας, καὶ τοῦ ἀγνοεῖν τὴν τοῦ θανάτου ὥραν,
and unbelief and the to-be-ignorant-of the of-the death hour
ὡς ὅταν νυκτὸς δειλιῶμεν ψόφου τινὸς γινομένου· ἥτις
as when at-night we-are-afraid (a)-noise some having-occurred which
παρὰ φύσιν ἐστίν, ἣν καὶ ὁριζόμενοι λέγομεν· παρὰ
against nature is which also defining we-say against
φύσιν δειλία ἐστὶ παράλογος συστολή. Ταύτην ὁ Κύριος
nature fear is irrational contraction this the Lord

οὐ προσήκατο· διὸ οὐδὲ ἐδειλίασέ ποτε, εἰ μὴ ἐν τῷ
not admitted therefore not-even he-was-afraid ever if not in the
τοῦ πάθους καιρῷ, εἰ καὶ οἰκονομικῶς ἑαυτὸν συνέστελλε
of-the passion time if even dispensationally himself he-contracted
πολλάκις· οὐ γὰρ ἠγνόει τὸν καιρόν.
often not for he-was-ignorant-of the time
Ὅτι δὲ ἀληθῶς ἐδειλίασε, φησὶν ὁ ἱερὸς Ἀθανάσιος ἐν τῷ
that and truly he-feared says the holy Athanasius in the
κατὰ τοῦ Ἀπολιναρίου λόγῳ· «Διὰ τοῦτο ὁ Κύριος ἔλεγεν·
against — Apollinarius discourse for this the Lord said
Νῦν ἡ ψυχή μου τετάρακται. Τὸ δέ, νῦν, τοῦτό ἐστιν,
now the soul my is-troubled the(-word) and now this is
ὅτε ἠθέλησεν, ὅμως μέντοι τὸ ὂν ἐπιδείκνυται· οὐ γὰρ τὸ
when he-willed yet however the real he-shows not for the
μὴ ὂν ὡς παρὸν ὠνόμαζεν, ὡς δοκήσει γινομένων τῶν
not real as present he-named as in-appearance happening the(-things)
λεγομένων· φύσει γὰρ καὶ ἀληθείᾳ τὰ πάντα ἐγίνετο.»
said by-nature for and in-truth the all(-things) came-about
Καὶ μεθ' ἕτερα· «Οὐδαμῶς δὲ θεότης πάθος προσίεται,
and after other(-things) in-no-way and divinity passion admits
δίχα πάσχοντος σώματος, οὐδὲ ταραχὴν καὶ λύπην
without (a)-suffering body nor trouble and grief
ἐπιδείκνυται, δίχα ψυχῆς λυπουμένης καὶ ταρασσομένης·
shows without (a)-soul grieving and being-troubled
οὔτε ἀδημονεῖ καὶ προσεύχεται, δίχα νοήσεως ἀδημονούσης
nor is-distressed and prays without (a)-mind being-distressed
καὶ προσευχομένης· ἀλλὰ γὰρ κἂν μὴ ἡττήματι φύσεως
and praying but for even-if not by-defeat of-nature
συνέβαινε τὰ γινόμενα, ἀλλ' ἐπιδείξει ὑπάρξεως
happened the(-things) happening yet by-demonstration of-existence

ἐγίνετο.» Τὸ δέ, ἡττήματι φύσεως μὴ συμβαίνειν τὰ
it-came-about the and by-defeat of-nature not to-happen the(-things)
γινόμενα, τὸ μὴ ἀκουσίως ταῦτα ὑπομένειν, δηλοῖ.
happening the not involuntarily these(-things) to-endure shows

Περὶ τῆς τοῦ Κυρίου προσευχῆς

LXVIII · THE LORD'S PRAYER

Prayer is the mind's ascent to God, or a request of fitting things from God. The Lord needed neither, his mind being united to God; he prayed in our person, modeling our ascent, fulfilling all righteousness, and honoring his Father as cause, as his words at Lazarus' tomb show. "Let this cup pass" teaches us to ask God's help in trials and to prefer his will to ours, and shows two natural wills, not opposed; "My God, why have you forsaken me" he spoke in our person, for it was we who were forsaken.

Προσευχή ἐστιν ἀνάβασις νοῦ πρὸς Θεόν, ἢ αἴτησις
prayer is (an)-ascent of-mind to God or (a)-request
τῶν προσηκόντων παρὰ Θεοῦ. Πῶς τοίνυν ὁ Κύριος
of-the(-things) fitting from God how then the Lord
ἐπὶ Λαζάρου, καὶ ἐν τῷ καιρῷ τοῦ πάθους προσηύχετο; Οὔτε
at Lazarus and in the time of-the passion prayed neither
γὰρ ἀναβάσεως τῆς πρὸς τὸν Θεὸν ἐδεῖτο ὁ ἅγιος αὐτοῦ
for of-ascent the to — God needed the holy his
νοῦς, ἅπαξ καθ' ὑπόστασιν τῷ Θεῷ Λόγῳ ἡνωμένος,
mind once according-to hypostasis — with-God Word united
οὔτε τῆς παρὰ Θεοῦ αἰτήσεως· εἷς γάρ ἐστιν ὁ Χριστός·
nor of-the from God request one for is — Christ
ἀλλὰ τὸ ἡμέτερον οἰκειούμενος πρόσωπον, καὶ τυπῶν
but the our appropriating person and modeling
ἐν ἑαυτῷ τὸ ἡμέτερον, καὶ ὑπογραμμὸς ἡμῖν γενόμενος,
in himself the ours and model to-us having-become

καὶ διδάσκων ἡμᾶς παρὰ Θεοῦ αἰτεῖν, καὶ πρὸς αὐτὸν
and teaching us from God to-ask and to him
ἀνατείνεσθαι, καὶ διὰ τοῦ ἁγίου αὐτοῦ νοῦ ὁδοποιῶν ἡμῖν
to-be-uplifted and through the holy his mind making-a-way for-us
τὴν πρὸς Θεὸν ἀνάβασιν. Ὥσπερ γὰρ τὰ πάθη ὑπέμεινεν,
the to God ascent as for the sufferings he-endured
ἡμῖν τὴν κατ᾽ αὐτῶν νίκην βραβεύων, οὕτω καὶ προσεύχεται,
for-us the over them victory awarding so also he-prays
ἡμῖν ὁδοποιῶν, ὡς ἔφην, τὴν πρὸς Θεὸν ἀνάβασιν, καὶ
for-us making-a-way as I-said the to God ascent and
ὑπὲρ ἡμῶν πᾶσαν δικαιοσύνην πληρῶν, ὡς ἔφη πρὸς
for us all righteousness fulfilling as he-said to
Ἰωάννην, καὶ καταλλάττων ἡμῖν τὸν ἑαυτοῦ Πατέρα, καὶ
John and reconciling to-us the his-own Father and
ὡς ἀρχὴν καὶ αἰτίαν τοῦτον τιμῶν, καὶ δεικνύς, ὡς οὐκ
as principle and cause him honoring and showing that not
ἔστιν ἀντίθεος. Ὅτε μὲν γὰρ ἔλεγεν ἐπὶ Λαζάρου· Πάτερ,
he-is (a)-rival-to-God when indeed for he-said at Lazarus Father
εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου. Ἐγὼ δὲ ἤδειν, ὅτι πάντοτέ
I-thank you that you-heard me I but knew that always
μου ἀκούεις, ἀλλὰ διὰ τὸν παρεστηκότα ὄχλον εἶπον,
me you-hear but because-of the standing-by crowd I-said
ἵνα γνῶσιν, ὅτι σύ με ἀπέστειλας, οὐ πᾶσι σαφέστατον
that they-may-know that you me sent not to-all most-clear
πέφυκεν, ὅτι ὡς ἑαυτοῦ καὶ αἰτίαν τιμῶν τὸν ἑαυτοῦ Πατέρα,
is-it that as his-own also cause honoring the his-own Father
καὶ δεικνὺς ὡς οὐκ ἔστιν ἀντίθεος, ταῦτα ἔφησεν;
and showing that not he-is (a)-rival-to-God these(-things) he-said
Ὅτε δὲ ἔλεγε· Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ᾽ ἐμοῦ τὸ
when and he-said Father if possible let-pass from me the
ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ᾽ ὡς σύ,
cup this nevertheless not as I will but as you

οὐ παντί που δῆλόν ἐστιν, ὡς διδάσκων ἡμᾶς ἐν τοῖς
not to-everyone surely clear is-it that teaching us in the
πειρασμοῖς παρὰ μόνου τοῦ Θεοῦ αἰτεῖν τὴν βοήθειαν, καὶ
temptations from only — God to-ask the help and
τὸ θεῖον τοῦ ἡμετέρου προκρίνειν θελήματος, καὶ δεικνύς,
the divine of-the our to-prefer will and showing
ὡς ἀληθῶς τὰ τῆς ἡμετέρας ᾠκειώσατο φύσεως, ὅτι
that truly the(-things) of-the our he-appropriated nature that
τε κατὰ ἀλήθειαν δύο θελήματα, φυσικὰ μέν, καὶ τῶν αὐτοῦ
both in truth two wills natural indeed and of-the his
κατάλληλα φύσεων, ἀλλ᾽ οὐχ ὑπεναντία κέκτηται; Πάτερ,
corresponding natures but not opposed he-possesses Father
φησίν, ὡς ὁμοούσιος, εἰ δυνατόν, οὐκ ἀγνοῶν· τί δὲ καὶ
he-says as consubstantial if possible not being-ignorant-of what and also
τῷ Θεῷ ἀδύνατον; ἀλλὰ παιδαγωγῶν ἡμᾶς τὸ θεῖον τοῦ
— to-God (is)-impossible but training us the divine of-the
ἡμετέρου προκρίνειν θελήματος. Τοῦτο γὰρ μόνον ἀδύνατον,
our to-prefer will this for alone (is)-impossible
ὃ Θεὸς οὐ βούλεται, οὐδὲ παραχωρεῖ. Πλὴν οὐχ ὡς ἐγὼ
which God not wills nor permits nevertheless not as I
θέλω, ἀλλ᾽ ὡς σύ· ὡς μὲν Θεός, ταυτοτελὴς ὢν τῷ Πατρί·
will but as you as indeed God the-same-in-will being with-the Father
ὡς δὲ ἄνθρωπος, τὸ τῆς ἀνθρωπότητος φυσικῶς ἐνδείκνυται
as but man the of-the humanity naturally he-shows
θέλημα· τοῦτο γὰρ φυσικῶς παραιτεῖται τὸν θάνατον.
will this for naturally shrinks-from the death
Τὸ δέ· Θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες;
the(-cry) and God my God my — why me have-you-forsaken
τὸ ἡμέτερον οἰκειούμενος ἔφησε πρόσωπον. Οὔτε γὰρ
the our appropriating he-spoke person neither for
Θεὸς αὐτοῦ ὁ Πατήρ, εἰ μή γε διαιρεθέντος ἰσχναῖς
(is)-God his the Father if not at-least being-divided by-subtle

τοῦ νοῦ φαντασίαις τοῦ ὁρωμένου ἐκ τοῦ
of-the mind imaginings the(-thing) seen from the(-thing)
νοουμένου, τάσσοιτο μεθ' ἡμῶν, οὔτε δὲ κατελείφθη
thought he-be-ranked with us nor and was-be-forsaken
ποτὲ ὑπὸ τῆς οἰκείας θεότητος, ἀλλ' ἡμεῖς ἦμεν οἱ
ever by the own divinity but we were the(-ones)
ἐγκαταλελειμμένοι, καὶ παρεωραμένοι· ὥστε τὸ ἡμέτερον
forsaken and disregarded so-that the our
οἰκειούμενος πρόσωπον ταῦτα προσηύξατο.
appropriating person these(-things) he-prayed

Περὶ οἰκειώσεως

LXIX · APPROPRIATION

There are two appropriations. One is natural and substantial, by which the Lord truly took our nature and all its natural properties. The other is personal and relational, when one takes on another's person through pity or love and speaks for him words that are not his own; so he took on our curse and our being forsaken, not being these, and "became a curse for us."

Χρὴ δὲ εἰδέναι ὡς δύο οἰκειώσεις εἰσί· μία φυσικὴ καὶ
(one)-must and know that two appropriations there-are one natural and
οὐσιώδης, καὶ μία προσωπικὴ καὶ σχετική. Φυσικὴ μὲν οὖν
substantial and one personal and relational natural indeed then
καὶ οὐσιώδης, καθ' ἣν διὰ φιλανθρωπίαν ὁ Κύριος τήν
and substantial according-to which through love-for-mankind the Lord the
τε φύσιν ἡμῶν καὶ τὰ φυσικὰ πάντα ἀνέλαβε, φύσει καὶ
both nature our and the natural(-things) all assumed by-nature and
ἀληθείᾳ γενόμενος ἄνθρωπος, καὶ τῶν φυσικῶν ἐν πείρᾳ
in-truth having-become man and of-the natural(-things) in experience
γενόμενος· προσωπικὴ δὲ καὶ σχετική, ὅτε τις τὸ ἑτέρου
having-come personal but and relational when someone the of-another

ὑποδύεται πρόσωπον διὰ σχέσιν, οἰκτόν φημι, ἢ ἀγάπην,
puts-on person through relation pity I-mean or love
καὶ ἀντ᾽ αὐτοῦ τοὺς ὑπὲρ αὐτοῦ ποιεῖται λόγους μηδὲν
and instead-of him the for him makes words nothing
αὐτῷ προσήκοντας· καθ᾽ ἣν τήν τε κατάραν καὶ τὴν
to-him belonging according-to which the both curse and the
ἐγκατάλειψιν ἡμῶν, καὶ τὰ τοιαῦτα οὐκ ὄντα φυσικά, οὐκ
forsaking our and the such(-things) not being natural not
αὐτὸς ταῦτα ὢν ἢ γενόμενος, ᾠκειώσατο, ἀλλὰ τὸ ἡμέτερον
he these-things being or having-become appropriated but the our
ἀναδεχόμενος πρόσωπον, καὶ μεθ᾽ ἡμῶν τασσόμενος.
taking-up person and with us being-ranked
Τοιοῦτον δέ ἐστι, καὶ τὸ γενόμενος ὑπὲρ ἡμῶν κατάρα.
such and is also the(-word) having-become for us (a)-curse

Περὶ τοῦ πάθους τοῦ σώματος τοῦ Κυρίου, καὶ τῆς ἀπαθείας τῆς αὐτοῦ θεότητος

LXX · THE BODY'S SUFFERING, THE DIVINITY IMPASSIBLE

The Word endured all in the flesh, his divine nature remaining impassible: the passible part suffered, while the impassible did not suffer with it, unlike the soul, which feels the pain when the body is cut. So we say God suffered in the flesh, never that the divinity suffered. When an axe cuts a tree in the sun, the sun stays uncut; when water is poured on red-hot iron, the fire is quenched and the iron is unharmed. Examples are never alike in everything, least of all for divine things.

Αὐτὸς οὖν ὁ τοῦ Θεοῦ Λόγος πάντα ὑπέμεινε σαρκί,
he-himself then the — of-God Word all(-things) endured in-flesh
τῆς θείας καὶ μόνης ἀπαθοῦς αὐτοῦ φύσεως ἀπαθοῦς
the divine and alone impassible his nature impassible
μενούσης. Τοῦ γὰρ ἑνὸς Χριστοῦ, τοῦ ἐκ θεότητός
remaining of-the for one Christ the(-one) from divinity

τε καὶ ἀνθρωπότητος συντεθειμένου, ἐν θεότητί τε καὶ
both and humanity compounded in divinity both and
ἀνθρωπότητι ὄντος, πάσχοντος, τὸ μὲν παθητόν, ὡς
humanity being suffering the indeed passible(-part) as
πεφυκὸς πάσχειν, ἔπασχεν, οὐ συνέπασχε δὲ τὸ ἀπαθές.
naturally-able to-suffer suffered not suffered-with but the impassible
Ἡ μὲν γὰρ ψυχὴ παθητὴ οὖσα, τοῦ σώματος τεμνομένου,
the indeed for soul passible being the body being-cut
αὐτὴ μὴ τεμνομένη, συναλγεῖ καὶ συμπάσχει τῷ σώματι·
itself not being-cut feels-pain-with and suffers-with the body
ἡ δὲ θεότης ἀπαθὴς οὖσα, οὐ συνέπασχε τῷ σώματι.
the but divinity impassible being not suffered-with the body
Ἰστέον δὲ ὅτι Θεὸν μὲν σαρκὶ παθόντα φαμέν,
(one)-must-know and that God indeed in-flesh having-suffered we-say
θεότητα δὲ σαρκὶ παθοῦσαν, ἢ Θεὸν διὰ σαρκὸς παθόντα,
divinity but in-flesh having-suffered or God through flesh having-suffered
οὐδαμῶς. Εἰ γὰρ ἡλίου δένδρῳ ἐπιλάμποντος, ἡ ἀξίνη
in-no-way if for (the)-sun on-(a)-tree shining the axe
τέμνοι τὸ δένδρον, ἄτμητος καὶ ἀπαθὴς διαμένει ὁ ἥλιος,
should-cut the tree uncut and impassible remains the sun
πολλῷ μᾶλλον ἡ ἀπαθὴς τοῦ Λόγου θεότης καθ᾽
much rather the impassible of-the Word divinity according-to
ὑπόστασιν ἡνωμένη σαρκί, τῆς σαρκὸς πασχούσης ἀπαθὴς
hypostasis united to-flesh the flesh suffering impassible
διαμένει. Καὶ ὥσπερ εἴ τις πεπυρακτωμένῳ σιδήρῳ
remains and as if someone on-red-hot iron
ἐπιχέοι ὕδωρ, ὃ μὲν πέφυκε πάσχειν ὑπὸ τοῦ ὕδατος,
should-pour water what indeed is-naturally-apt to-suffer by the water
τὸ πῦρ λέγω, σβέννυται, ἀβλαβὴς δὲ διαμένει ὁ σίδηρος·
the fire I-mean is-quenched unharmed but remains the iron
οὐ πέφυκε γὰρ ὑπὸ τοῦ ὕδατος διαφθείρεσθαι· πολλῷ
not it-is-apt for by the water to-be-destroyed much

μᾶλλον τῆς σαρκὸς πασχούσης, ἡ μόνη ἀπαθὴς θεότης
rather the flesh suffering the alone impassible divinity
τὸ πάθος οὐ προσήκατο, καὶ ἀχώριστος αὐτῆς διαμένουσα·
the suffering not admitted even inseparable from-it remaining
οὐκ ἀνάγκη γὰρ παντελῶς καὶ ἀνελλιπῶς ἐοικέναι τὰ
not (it-is)-necessary for wholly and without-deficiency to-resemble the
παραδείγματα. Ἀνάγκη γὰρ ἐν τοῖς παραδείγμασι, καὶ
examples (it-is)-necessary for in the examples both
τὸ ὅμοιον θεωρεῖσθαι καὶ τὸ παρηλλαγμένον, ἐπεὶ οὐ
the like to-be-contemplated and the different since not
παράδειγμα· τὸ γὰρ ἐν πᾶσιν ὅμοιον, ταὐτὸν ἂν εἴη,
(an)-example the for in all like the-same — would-be
καὶ οὐ παράδειγμα, καὶ μάλιστα ἐπὶ τῶν θείων.
and not (an)-example and especially in-the-case-of the divine(-things)
Ἀδύνατον γὰρ ἐν πᾶσιν ὅμοιον εὑρεῖν παράδειγμα, ἐπί
(it-is)-impossible for in all like to-find (an)-example in
τε τῆς θεολογίας, ἐπί τε τῆς οἰκονομίας.
both the theology in and the dispensation

Περὶ τοῦ ἀχώριστον διαμεῖναι τὴν τοῦ Λόγου θεότητα τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ ἐν τῷ θανάτῳ τοῦ Κυρίου, καὶ μίαν διαμεῖναι ὑπόστασιν

LXXI · THE DIVINITY INSEPARABLE IN THE LORD'S DEATH

Sinless, the Lord was not subject to death, which entered through sin, but took death on for us and offered himself to the Father as the ransom, not to the tyrant. Death swallowed the bait of the body and was pierced by the hook of the divinity, and brought up all it had swallowed, as darkness vanishes when light comes. When he died, his soul was parted from his body, but the divinity stayed with both, and the one hypostasis was not divided into two, for neither soul nor body ever had a hypostasis of its own beside the Word's.

Ἀναμάρτητος ὢν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός·
sinless being the Lord our Jesus Christ
Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, ὁ αἴρων τὴν ἁμαρτίαν
sin for not did the(-one) taking-away the sin
τοῦ κόσμου, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· οὐχ
of-the world nor was-found guile in the mouth his not
ὑπέκειτο θανάτῳ, εἴπερ διὰ τῆς ἁμαρτίας εἰς τὸν κόσμον
he-was-subject to-death if-indeed through the sin into the world
εἰσῆλθεν ὁ θάνατος. Θνήσκει τοίνυν, τὸν ὑπὲρ ἡμῶν
entered the death he-dies then the for us
θάνατον ἀναδεχόμενος, καὶ ἑαυτὸν τῷ Πατρὶ προσφέρει
death taking-up and himself to-the Father offers
θυσίαν ὑπὲρ ἡμῶν· αὐτῷ γὰρ πεπλημμελήκαμεν, καὶ
(as)-sacrifice for us against-him for we-have-offended and
αὐτὸν ἔδει τὸ ὑπὲρ ἡμῶν λύτρον δέξασθαι, καὶ οὕτως ἡμᾶς
him ought the for us ransom to-receive and so us
λυθῆναι τῆς κατακρίσεως· μὴ γὰρ γένοιτο τῷ τυράννῳ
to-be-loosed from-the condemnation not for may-it-be to-the tyrant
τὸ τοῦ Δεσπότου προσενεχθῆναι αἷμα. Πρόσεισι τοιγαροῦν
the of-the Master to-be-offered blood approaches therefore
ὁ θάνατος, καὶ καταπιὼν τὸ σώματος δέλεαρ, τῷ τῆς
the death and having-swallowed the of-(the)-body bait on-the of-the
θεότητος ἀγκίστρῳ περιπείρεται, καὶ ἀναμαρτήτου καὶ
divinity hook is-pierced and of-sinless and
ζωοποιοῦ γευσάμενος σώματος, διαφθείρεται, καὶ πάντας
life-giving having-tasted body is-destroyed and all
ἀνάγει, οὓς πάλαι κατέπιεν. Ὥσπερ γὰρ τὸ σκότος τῇ
brings-up whom long-ago it-swallowed as for the darkness by-the
τοῦ φωτὸς ἐπεισαγωγῇ ἐξαφανίζεται, οὕτως ἡ φθορὰ
of-the light introduction vanishes so the corruption

τῇ τῆς ζωῆς προσβολῇ ἀπελαύνεται, καὶ γίνεται
by-the of-the life assault is-driven-away and there-comes-to-be
πᾶσι ζωή, φθορὰ δὲ τῷ φθείραντι.
for-all life corruption but to-the(-one) having-corrupted
Εἰ καὶ τέθνηκε τοιγαροῦν ὡς ἄνθρωπος, καὶ ἡ ἁγία
if even he-has-died therefore as man and the holy
αὐτοῦ ψυχὴ τοῦ ἀχράντου διῃρέθη σώματος, ἀλλ' ἡ
his soul from-the undefiled was-divided body yet the
θεότης ἀχώριστος ἀμφοτέρων διέμεινε, τῆς τε ψυχῆς φημι
divinity inseparable from-both remained the both soul I-mean
καὶ τοῦ σώματος, καὶ οὐδὲ οὕτως ἡ μία ὑπόστασις εἰς
and the body and not-even so the one hypostasis into
δύο ὑποστάσεις διῄρηται· τό τε γὰρ σῶμα καὶ ἡ ψυχὴ
two hypostases has-been-divided the both for body and the soul
κατὰ ταυτὸν ἐξ ἀρχῆς ἐν τῇ τοῦ Λόγου ὑποστάσει
at the-same(-time) from (the)-beginning in the of-the Word hypostasis
ἔσχον τὴν ὕπαρξιν, καὶ ἐν τῷ θανάτῳ ἀλλήλων
had the existence and in the death from-one-another
διαιρεθέντα, ἕκαστον αὐτῶν ἔμεινε, τὴν μίαν τοῦ Λόγου
divided each of-them remained the one of-the Word
ὑπόστασιν ἔχοντα. Ὥστε ἡ μία τοῦ Λόγου ὑπόστασις,
hypostasis having so-that the one of-the Word hypostasis
τοῦ τε Λόγου, καὶ τῆς ψυχῆς, καὶ τοῦ σώματος ὑπῆρχεν
of-the both Word and of-the soul and of-the body was
ὑπόστασις· οὐδέποτε γὰρ οὔτε ἡ ψυχή, οὔτε τὸ σῶμα
(the)-hypostasis never for neither the soul nor the body
ἰδίαν ἔσχον ὑπόστασιν παρὰ τὴν τοῦ Λόγου ὑπόστασιν,
own had hypostasis beside the of-the Word hypostasis
μία δὲ ἀεὶ ἡ τοῦ Λόγου ὑπόστασις, καὶ οὐδέποτε
one but always (is)-the of-the Word hypostasis and never
δύο. Ὥστε μία ἀεὶ ἡ τοῦ Χριστοῦ ὑπόστασις. Εἰ
two so-that one always (is)-the — of-Christ hypostasis if

γὰρ καὶ τοπικῶς τοῦ σώματος ἡ ψυχὴ κεχώριστο,
for even locally from-the body the soul had-been-separated
ἀλλ᾽ ὑποστατικῶς διὰ τοῦ Λόγου ἥνωτο.
yet hypostatically through the Word it-was-united

Περὶ φθορᾶς καὶ διαφθορᾶς

LXXII · CORRUPTION AND DESTRUCTION

"Corruption" has two senses. It means the human passions, hunger, thirst, the nails, and death; in this sense the Lord's body was corruptible, for he took them on willingly. It also means the body's complete dissolution into its elements, destruction, which his body did not undergo, as David says. To call it incorruptible in the first sense before the resurrection, with Julian and Gaianus, makes the dispensation a stage show and our salvation unreal. After the resurrection it is incorruptible in both senses, and through it he grants resurrection and incorruption to our bodies too.

Τὸ τῆς φθορᾶς ὄνομα δύο σημαίνει. Σημαίνει γὰρ τὰ
the of-the corruption name two(-things) signifies it-signifies for the
ἀνθρώπινα ταῦτα πάθη, πεῖναν, δίψαν, κόπον, τὴν τῶν ἥλων
human these passions hunger thirst weariness the of-the nails
διάτρησιν, θάνατον, ἤτοι χωρισμὸν ψυχῆς ἐκ τοῦ σώματος,
piercing death that-is separation of-soul from the body
καὶ τὰ τοιαῦτα. Κατὰ τοῦτο τὸ σημαινόμενον φθαρτὸν
and the such(-things) according-to this the meaning corruptible
τὸ τοῦ Κυρίου σῶμά φαμεν. Πάντα γὰρ ταῦτα ἑκουσίως
the of-the Lord body we-call all for these voluntarily
ἀνέλαβε. Σημαίνει δὲ ἡ φθορὰ καὶ τὴν τελείαν τοῦ
he-assumed signifies and the corruption also the complete of-the
σώματος εἰς τὰ ἐξ ὧν συνετέθη στοιχεῖα, διάλυσιν καὶ
body into the from which it-was-compounded elements dissolution and
ἀφανισμόν· ἥτις μᾶλλον ὑπὸ πολλῶν διαφθορὰ ὀνομάζεται.
vanishing which rather by many (as)-destruction is-named

Ταύτης πεῖραν τὸ τοῦ Κυρίου σῶμα οὐκ ἔσχεν, ὥς φησιν
of-this experience the of-the Lord body not had as says
ὁ προφήτης Δαβίδ· Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν
the prophet David for not you-will-abandon the soul
μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.
my in hades nor will-you-give the holy-one your to-see destruction
Ἄφθαρτον μὲν οὖν τὸ τοῦ Κυρίου σῶμα λέγειν κατὰ τὸν
incorruptible indeed then the of-the Lord body to-call according-to the
παράφρονα Ἰουλιανὸν καὶ Γαϊανόν, κατὰ τὸ πρῶτον τῆς
senseless Julian and Gaianus according-to the first of-the
φθορᾶς σημαινόμενον, πρὸ τῆς ἀναστάσεως, ἀσεβές. Εἰ γὰρ
corruption meaning before the resurrection (is)-impious if for
ἀδιάφθαρτον, οὐχ ὁμοούσιον ἡμῖν, ἀλλὰ καὶ δοκήσει, καὶ
(it-was)-incorruptible not consubstantial with-us but also in-appearance and
οὐκ ἀληθείᾳ γέγονεν, ἃ γεγονέναι φησὶ τὸ Εὐαγγέλιον,
not in-truth came-about what to-have-come-about says the Gospel
τὴν πεῖναν, τὴν δίψαν, τοὺς ἥλους, τὴν τῆς πλευρᾶς νύξιν,
the hunger the thirst the nails the of-the side piercing
τὸν θάνατον. Εἰ δὲ δοκήσει γέγονε, φενακισμὸς καὶ
the death if but in-appearance (it)-came-about (a)-deceit and
σκηνὴ τὸ τῆς οἰκονομίας μυστήριον, καὶ δοκήσει, καὶ
(a)-stage-show (is)-the of-the dispensation mystery and in-appearance and
οὐκ ἀληθείᾳ γέγονεν ἄνθρωπος, καὶ δοκήσει, καὶ οὐκ ἀληθείᾳ
not in-truth he-became man and in-appearance and not in-truth
σεσώσμεθα· ἀλλ' ἄπαγε, καὶ οἱ ταῦτα λέγοντες
we-have-been-saved but away-with(-it) and the(-ones) these(-things) saying
τῆς σωτηρίας ἀμοιρείτωσαν. Ἡμεῖς δὲ τῆς ἀληθοῦς
of-the salvation let-them-be-without-share we but of-the true
σωτηρίας ἐτύχομεν καὶ τευξόμεθα. Κατὰ δὲ τὸ δεύτερον
salvation obtained and shall-obtain according-to and the second
τῆς φθορᾶς σημαινόμενον, ἄφθαρτον, ἤτοι ἀδιάφθορον
of-the corruption meaning incorruptible that-is indestructible

ὁμολογοῦμεν τὸ τοῦ Κυρίου σῶμα, καθὼς ἡμῖν οἱ θεοφόροι
we-confess the of-the Lord body as to-us the God-bearing
Πατέρες παραδεδώκασι· μετὰ μέντοι τὴν ἐκ νεκρῶν τοῦ
Fathers have-handed-down after however the from (the)-dead of-the
Σωτῆρος ἀνάστασιν, καὶ κατὰ τὸ πρῶτον σημαινόμενον,
Savior resurrection also according-to the first meaning
ἄφθαρτον τὸ τοῦ Κυρίου σῶμά φαμεν· καὶ τῷ ἡμετέρῳ
incorruptible the of-the Lord body we-call also to-the our
γὰρ σώματι τήν τε ἀνάστασιν καὶ τὴν μετὰ ταῦτα
for body the both resurrection and the after these-things
ἀφθαρσίαν ὁ Κύριος διὰ τοῦ ἰδίου ἐδωρήσατο σώματος,
incorruption the Lord through the own granted body
αὐτὸς ἀπαρχὴ τῆς τε ἀναστάσεως, καὶ τῆς ἀφθαρσίας,
he first-fruits of-the both resurrection and of-the incorruption
καὶ τῆς ἀπαθείας ἡμῖν γενόμενος. Δεῖ γὰρ τὸ φθαρτὸν
and of-the impassibility for-us having-become must for the corruptible
τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, φησὶν ὁ θεῖος Ἀπόστολος.
this put-on incorruption says the divine Apostle

Περὶ τῆς ἐν τῷ ᾅδῃ καθόδου

LXXIII · THE DESCENT INTO HADES

The deified soul went down into hades so that, as the sun of righteousness rose on those on earth, the light might shine on those sitting under the earth in darkness, and as on earth he preached release to the captives and sight to the blind, salvation to believers and refutation to unbelievers, so he did in hades, that every knee might bend. Loosing those bound from the ages, he rose from the dead and made the way of resurrection for us.

Κάτεισιν εἰς ᾅδην ψυχὴ τεθεωμένη, ἵνα ὥσπερ τοῖς ἐν
descends into hades (a)-soul deified that as to-the(-ones) on
γῇ ὁ τῆς δικαιοσύνης ἀνέτειλεν ἥλιος, οὕτω καὶ τοῖς
earth the of-the righteousness rose sun so also to-the(-ones)
ὑπὸ γῆν ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις ἐπιλάμψῃ
under earth in darkness and shadow of-death sitting may-shine-upon
τὸ φῶς· ἵν' ὥσπερ τοῖς ἐν γῇ εὐηγγελίσατο εἰρήνην,
the light that as to-the(-ones) on earth he-proclaimed peace
αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, καὶ τοῖς
to-captives release and to-blind recovery-of-sight and to-the
μὲν πιστεύσασι γέγονεν αἴτιος σωτηρίας αἰωνίου, τοῖς
indeed having-believed he-became (the)-cause of-salvation eternal to-the
δὲ ἀπειθήσασιν, ἀπιστίας ἔλεγχος, οὕτω καὶ τοῖς
but having-disobeyed of-unbelief (a)-refutation so also to-the(-ones)
ἐν ᾅδου· Ἵνα αὐτῷ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ
in hades that to-him every knee may-bend of-heavenly(-beings) and
ἐπιγείων καὶ καταχθονίων, καὶ οὕτω τοὺς ἀπ' αἰώνων
earthly and subterranean and so the(-ones) from ages
λύσας πεπεδημένους, αὖθις ἐκ νεκρῶν ἀνεφοίτησεν,
having-loosed bound again from (the)-dead he-went-up
ὁδοποιήσας ἡμῖν τὴν ἀνάστασιν.
having-made-a-way for-us the resurrection

Περὶ τῶν μετὰ τὴν ἀνάστασιν

LXXIV · WHAT CAME AFTER THE RESURRECTION

After rising he laid aside every passion, corruption, hunger, thirst, sleep, and weariness; the food he took was a dispensation, proving that the risen flesh was the flesh that suffered. He laid aside no part of his nature, keeping body and a rational, willing, and active soul, and so sits at the Father's right, willing our salvation

divinely and humanly, governing all as God and remembering his life on earth as man, knowing that he is venerated by all creation. Ascending and descending belong to a circumscribed body, and he will come again as he was seen going.

Μετὰ δὲ τὴν ἐκ νεκρῶν ἀνάστασιν, πάντα μὲν τὰ πάθη
after and the from (the)-dead resurrection all indeed the passions
ἀπέθετο· φθορὰν λέγω, πεῖνάν τε καὶ δίψαν, ὕπνον καὶ
he-laid-aside corruption I-mean hunger both and thirst sleep and
κάματον, καὶ τὰ τοιαῦτα. Εἰ γὰρ καὶ ἐγεύσατο βρώσεως
weariness and the such(-things) if for even he-tasted food
μετὰ τὴν ἀνάστασιν, ἀλλ᾽ οὐ νόμῳ φύσεως· οὐ γὰρ
after the resurrection yet not by-law of-nature not for
ἐπείνασεν· οἰκονομίας δὲ τρόπῳ, τὸ ἀληθὲς πιστούμενος
he-hungered of-dispensation but by-way the truth confirming
τῆς ἀναστάσεως, ὡς αὐτή ἐστιν, ἡ σὰρξ ἡ παθοῦσα
of-the resurrection that the-same is the flesh the(-one) having-suffered
καὶ ἀναστᾶσα· οὐδὲν δὲ τῶν τῆς φύσεως μερῶν ἀπέθετο,
and having-risen none but of-the of-the nature parts he-laid-aside
οὐ σῶμα, οὐ ψυχήν, ἀλλὰ καὶ τὸ σῶμα, καὶ τὴν ψυχὴν
not body not soul but also the body and the soul
λογικήν τε καὶ νοεράν, θελητικήν τε καὶ ἐνεργητικὴν
rational both and intellectual volitional both and active
κέκτηται, καὶ οὕτως ἐν δεξιᾷ τοῦ Πατρὸς καθέζεται,
he-possesses and so at (the)-right of-the Father he-sits
θέλων θεϊκῶς τε καὶ ἀνθρωπίνως τὴν ἡμῶν σωτηρίαν,
willing divinely both and humanly the our salvation
καὶ ἐνεργῶν, θεϊκῶς μέν, τὴν τῶν ὅλων πρόνοιάν τε καὶ
and effecting divinely indeed the of-the whole providence both and
συντήρησιν, καὶ κυβέρνησιν, ἀνθρωπίνως δέ, μεμνημένος
preservation and governance humanly but remembering
τῶν ἐπὶ γῆς αὐτοῦ διατριβῶν, ὁρῶν τε καὶ γινώσκων, ὡς
the on earth his sojournings seeing both and knowing that

ὑπὸ πάσης προσκυνεῖται τῆς λογικῆς κτίσεως. Γινώσκει γὰρ
by all he-is-venerated the rational creation knows for
ἡ ἁγία αὐτοῦ ψυχή, ὅτι τε καθ' ὑπόστασιν τῷ Θεῷ
the holy his soul that both according-to hypostasis — to-God
Λόγῳ ἥνωται, καὶ συμπροσκυνεῖται, ὡς Θεοῦ ψυχή, καὶ οὐχ
Word it-is-united and is-co-venerated as God's soul and not
ὡς ἁπλῶς ψυχή. Καὶ τὸ ἀναβῆναι δὲ ἐκ γῆς εἰς οὐρανόν,
as simply (a)-soul and the to-ascend also from earth to heaven
καὶ τὸ καταβῆναι δὲ πάλιν, ἐνέργειαί εἰσι περιγραφομένου
and the to-descend also again activities are of-(a)-circumscribed
σώματος· Οὕτω γὰρ πάλιν ἐλεύσεται, φησί, πρὸς ὑμᾶς,
body so for again he-will-come he-says to you
ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.
in-which manner you-beheld him going into the heaven

Περὶ τῆς ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδρας

LXXV · THE SITTING AT THE FATHER'S RIGHT

Christ sits bodily at the right of God the Father, but not in a place, for the uncircumscribable has no local right hand; the right hand means the glory and honor of the divinity, in which the Son existed before the ages, and in which, incarnate, he now sits with his flesh glorified, venerated with it by all creation in one veneration.

Ἐκ δεξιῶν δὲ τοῦ Θεοῦ καὶ Πατρὸς κεκαθικέναι φαμὲν τὸν
at (the)-right and — of-God and Father to-have-sat we-say —
Χριστὸν σωματικῶς, οὐ τοπικὴν δὲ δεξιὰν τοῦ Πατρὸς
Christ bodily not local but right-hand of-the Father
λέγομεν. Πῶς γὰρ ὁ ἀπερίγραπτος τοπικὴν σχοίη δεξιάν;
we-mean how for the uncircumscribable (a)-local could-have right-hand
Δεξιὰ γὰρ καὶ ἀριστερὰ τῶν περιγεγραμμένων εἰσί· δεξιὰν
right for and left of-the circumscribed(-things) are right-hand

δὲ τοῦ Πατρὸς λέγομεν τὴν δόξαν καὶ τὴν τιμὴν τῆς
but of-the Father we-mean the glory and the honor of-the
θεότητος, ἐν ᾗ ὁ τοῦ Θεοῦ Υἱὸς πρὸ αἰώνων ὑπάρχων,
divinity in which the — of-God Son before ages existing
ὡς Θεός, καὶ τῷ Πατρὶ ὁμοούσιος, ἐπ᾽ ἐσχάτων
as God and with-the Father consubstantial at (the)-last
σαρκωθείς, καὶ σωματικῶς κάθηται, συνδοξασθείσης
having-been-incarnate also bodily sits being-glorified-with
τῆς σαρκὸς αὐτοῦ· προσκυνεῖται γὰρ μιᾷ προσκυνήσει
the flesh his he-is-venerated for with-one veneration
μετὰ τῆς σαρκὸς αὐτοῦ ὑπὸ πάσης τῆς κτίσεως.
with the flesh his by all the creation

Πρὸς τοὺς λέγοντας· Εἰ δύο φύσεις ὁ Χριστός, ἢ καὶ τῇ κτίσει λατρεύετε, φύσιν κτιστὴν προσκυνοῦντες, ἢ μίαν φύσιν προσκυνητὴν λέγετε, ἢ μίαν ἀπροσκύνητον

LXXVI · AGAINST "YOU WORSHIP A CREATED NATURE"

We venerate the Son of God with the Father and the Spirit, bodiless before the incarnation and incarnate now. His flesh, considered by itself, is created and not to be venerated, but it is venerated in the Word because it is united to him: as a king is venerated naked or clothed, and the purple, trodden on as cloth, is honored as a royal robe; as wood is touched, but a live coal is not, for the fire joined to it. So we venerate not mere flesh but the flesh of God, God incarnate.

Τὸν Υἱὸν τοῦ Θεοῦ σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι
the Son — of-God with the Father and the holy Spirit
προσκυνοῦμεν· ἀσώματον μὲν πρὸ τῆς ἀνθρωπήσεως, καὶ
we-venerate bodiless indeed before the becoming-man and
νῦν τὸν αὐτὸν σεσαρκωμένον καὶ γενόμενον ἄνθρωπον, μετὰ
now the same incarnate and having-become man with

τοῦ εἶναι Θεόν. Ἡ τοίνυν σὰρξ αὐτοῦ, κατὰ μὲν τὴν
the to-be God the then flesh his according-to indeed the
ἑαυτῆς φύσιν, ἂν διέλῃς ἰσχναῖς ἐπινοίαις τὸ ὁρώμενον
its-own nature if you-divide by-subtle thoughts the(-thing) seen
ἐκ τοῦ νοουμένου, ἀπροσκύνητός ἐστιν, ὡς κτιστή·
from the(-thing) thought not-to-be-venerated it-is as created
ἑνωθεῖσα δὲ τῷ Θεῷ Λόγῳ, δι' αὐτὸν καὶ ἐν αὐτῷ
united but — to-God Word because-of him and in him
προσκυνεῖται. Ὅνπερ γὰρ τρόπον ὁ βασιλεὺς καὶ γυμνὸς
it-is-venerated in-which for way the king both naked
προσκυνεῖται καὶ ἐνδεδυμένος, καὶ ἡ ἁλουργίς, ὡς μὲν
is-venerated and clothed and the purple as indeed
ψιλὴ ἁλουργίς, πατεῖται καὶ περιῤῥίπτεται, βασιλικὸν δὲ
mere purple is-trodden and is-tossed-aside royal but
γενομένη ἔνδυμα, τιμᾶται καὶ δοξάζεται, καὶ εἴ τις αὐτὴν
having-become robe is-honored and glorified and if anyone it
παροικτρώσειε, θάνατον, ὡς τὰ πολλά, κατακρίνεται· ὡς
should-outrage death as the many(-times) he-is-condemned as
δὲ καὶ ξύλον ψιλὸν οὐκ ἔστι τῇ ἁφῇ ἀπρόσιτον, πυρὶ
and also wood mere not is to-the touch unapproachable with-fire
δὲ προσομιλῆσαν καὶ ἄνθραξ γενόμενον, οὐ δι' ἑαυτό,
but having-consorted and coal having-become not because-of itself
διὰ δὲ τὸ συνημμένον πῦρ, ἀπρόσιτον γίνεται, καὶ οὐχ
because-of but the conjoined fire unapproachable it-becomes and not
ἡ τοῦ ξύλου φύσις ὑπάρχει ἀπρόσιτος, ἀλλ' ὁ ἄνθραξ,
the of-the wood nature is unapproachable but the coal
ἤτοι τὸ πεπυρακτωμένον ξύλον, οὕτω καὶ ἡ σάρξ, κατὰ
that-is the red-hot wood so also the flesh according-to
μὲν τὴν ἑαυτῆς φύσιν, οὐκ ἔστι προσκυνητή, προσκυνεῖται
indeed the its-own nature not is to-be-venerated it-is-venerated
δὲ ἐν τῷ σεσαρκωμένῳ Θεῷ Λόγῳ, οὐ δι' ἑαυτήν,
but in the incarnate God Word not because-of itself

ἀλλὰ διὰ τὸν ἡνωμένον αὐτῇ καθ' ὑπόστασιν Θεὸν
but because-of the united to-it according-to hypostasis God
Λόγον· καὶ οὔ φαμεν, ὅτι σάρκα προσκυνοῦμεν ψιλήν,
Word and not we-say that flesh we-venerate mere
ἀλλὰ σάρκα Θεοῦ, ἤτοι σεσαρκωμένον Θεόν.
but (the)-flesh of-God that-is incarnate God

Διὰ τί ὁ Υἱὸς τοῦ Θεοῦ ἐνηνθρώπησε, καὶ οὐχ ὁ Πατήρ, οὐδὲ τὸ Πνεῦμα· καὶ τί ἐνανθρωπήσας κατώρθωσεν

LXXVII · WHY THE SON BECAME MAN, AND WHAT HE ACHIEVED

The properties are immovable: the Son became Son of man so that sonship would stay with the Son. He became man to restore the image and likeness we had lost through the transgression; he shared our worse that we might share his better, free us from corruption, and redeem us from the devil. Now the worship of demons has ceased, the Trinity is worshiped, and the virtues practiced, all through the cross and death and by few, poor, and unlettered men, not by war: not one people saved from Egypt, but all humanity from death. John closes in thanks to Christ.

Πατὴρ ὁ Πατήρ, καὶ οὐχ Υἱός· Υἱὸς ὁ Υἱός, καὶ
Father (is)-the Father and not Son Son (is)-the Son and
οὐ Πατήρ· Πνεῦμα ἅγιον τὸ Πνεῦμα, καὶ οὐ Πατήρ,
not Father Spirit holy (is)-the Spirit and not Father
οὐδὲ Υἱός. Ἡ γὰρ ἰδιότης ἀκίνητος· ἢ πῶς ἂν ἰδιότης
nor Son the for property (is)-immovable or how — (a)-property
μένοι κινουμένη καὶ μεταπίπτουσα; Διὰ τοῦτο ὁ
would-remain being-moved and changing for this the
Υἱὸς τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γίνεται, ἵνα μείνῃ ἡ
Son — of-God Son of-man becomes that may-remain the
ἰδιότης ἀκίνητος. Υἱὸς γὰρ ὢν τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου
property immovable Son for being — of-God Son of-man

γέγονεν, σαρκωθεὶς ἐκ τῆς ἁγίας Παρθένου, καὶ οὐκ
he-has-become having-been-incarnate from the holy Virgin and not
ἐκστὰς τῆς υἱϊκῆς ἰδιότητος.
having-departed-from the filial property
Ἐνηνθρώπησε δὲ ὁ Υἱὸς τοῦ Θεοῦ, ἵν' ἐφ' ᾧπερ ἐποίησε
became-man and the Son — of-God that for which he-made
τὸν ἄνθρωπον, πάλιν αὐτῷ χαρίσηται· ἐποίησε γὰρ αὐτὸν
the man again to-him he-might-grant he-made for him
κατ' εἰκόνα ἑαυτοῦ, νοερὸν καὶ αὐτεξούσιον, καὶ καθ'
according-to image his-own intellectual and self-determining and according-to
ὁμοίωσιν, ἤτοι ἐν ἀρεταῖς τέλειον, ὡς ἐφικτὸν ἀνθρώπου
likeness that-is in virtues perfect as attainable to-man's
φύσει· αὗται γὰρ οἱονεὶ χαρακτῆρες τῆς θείας ὑπάρχουσι
nature these for as-it-were marks of-the divine are
φύσεως, τὸ ἀμέριμνον, καὶ ἀπερίσπαστον, καὶ ἀκέραιον, τὸ
nature the freedom-from-care and undistractedness and integrity the
ἀγαθόν, τὸ σοφόν, τὸ δίκαιον, τὸ πάσης κακίας ἐλεύθερον.
good the wise the just the from-all wickedness free
Ἐν κοινωνίᾳ μὲν οὖν ἑαυτοῦ καταστήσας τὸν ἄνθρωπον
in fellowship indeed then with-himself having-set the man
(ἐπ' ἀφθαρσίᾳ γὰρ τοῦτον ἐποίησε, διὰ τῆς ἑαυτοῦ
unto incorruption for him he-made through the his-own
κοινωνίας ἀνήγαγεν αὐτὸν πρὸς τὸ ἄφθαρτον)· ἐπειδὴ καὶ
fellowship he-led-up him to the incorruptible since and
διὰ τῆς παραβάσεως τῆς ἐντολῆς τοὺς τῆς θείας εἰκόνος
through the transgression of-the commandment the of-the divine image
χαρακτῆρας ἐξεφώσαμέν τε καὶ συνεχέαμεν, καὶ ἐν κακίᾳ
marks we-obscured both and confounded and in wickedness
γενόμενοι, τῆς θείας κοινωνίας ἐγυμνώθημεν· Τίς γὰρ
having-become of-the divine fellowship we-were-stripped what for
μετουσία φωτὶ πρὸς σκότος; καὶ ἔξω τῆς ζωῆς γενόμενοι,
(is-there)-sharing for-light with darkness and outside of-the life having-come

τῇ τοῦ θανάτου φθορᾷ ὑπεπέσομεν· ἐπειδὴ μετέδωκε τοῦ
to-the of-the death corruption we-fell-under since he-imparted the
κρείττονος, καὶ οὐκ ἐφυλάξαμεν, μεταλαμβάνει τοῦ χείρονος,
better and not we-kept(-it) he-partakes-of the worse
τῆς ἡμετέρας λέγω φύσεως, ἵνα δι' ἑαυτοῦ καὶ ἐν ἑαυτῷ
the our I-mean nature that through himself and in himself
ἀνακαινίσῃ μὲν τὸ κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν,
he-might-renew indeed the according-to image and according-to likeness
διδάξῃ δὲ καὶ ἡμᾶς τὴν ἐνάρετον πολιτείαν, ταύτην
might-teach and also us the virtuous conduct this
δι' ἑαυτοῦ ποιήσας ἡμῖν εὐεπίβατον, καὶ τῇ τῆς ζωῆς
through himself having-made for-us easy-to-climb and by-the of-the life
κοινωνίᾳ ἐλευθερώσῃ τῆς φθορᾶς, ἀπαρχὴ γενόμενος τῆς
fellowship might-free from-the corruption first-fruits having-become of-the
ἡμῶν ἀναστάσεως, καὶ τὸ ἀχρειωθὲν καὶ συντριβὲν σκεῦος
our resurrection and the rendered-useless and shattered vessel
ἀνακαινίσῃ, ἵνα τῆς τυραννίδος τοῦ διαβόλου λυτρώσηται,
might-renew that from-the tyranny of-the devil he-might-redeem(-us)
πρὸς θεογνωσίαν ἡμᾶς καλέσας, καὶ νευρώσῃ, καὶ παιδεύσῃ
to knowledge-of-God us having-called and might-strengthen and train
δι' ὑπομονῆς καὶ ταπεινώσεως καταπαλαίειν τὸν τύραννον.
through patience and humility to-wrestle-down the tyrant
Πέπαυται γοῦν ἡ τῶν δαιμόνων θρησκεία, ἡ κτίσις
has-ceased at-any-rate the of-the demons worship the creation
τῷ θείῳ ἡγίασται αἵματι, βωμοὶ καὶ ναοὶ εἰδώλων
by-the divine has-been-sanctified blood altars and temples of-idols
καθῄρηνται, θεογνωσία πεφύτευται, Τριὰς ἡ ὁμοούσιος,
have-been-pulled-down knowledge-of-God has-been-planted (the)-Trinity the consubstantial
ἡ ἄκτιστος θεότης λατρεύεται, εἷς Θεὸς ἀληθινός, δημιουργὸς
the uncreated divinity is-worshiped one God true creator
τῶν ἁπάντων καὶ Κύριος· ἀρεταὶ πολιτεύονται, ἀναστάσεως
of-the all and Lord virtues are-practiced of-resurrection

ἐλπὶς διὰ τῆς Χριστοῦ ἀναστάσεως δεδώρηται, φρίττουσι
hope through the of-Christ resurrection has-been-granted shudder-at
τοὺς πάλαι ὑποχειρίους ἀνθρώπους οἱ δαίμονες· καὶ τό
the long-ago subject men the demons and the(-thing)
γε θαυμαστόν, ὅτι ταῦτα πάντα διὰ σταυροῦ, καὶ
indeed wonderful (is)-that these all through (the)-cross and
παθῶν, καὶ θανάτου κατώρθωται· εἰς πᾶσαν τὴν γῆν
sufferings and death have-been-achieved into all the earth
τὸ Εὐαγγέλιον τῆς θεογνωσίας κεκήρυκται, οὐ πολέμῳ,
the Gospel of-the knowledge-of-God has-been-preached not by-war
καὶ ὅπλοις, καὶ στρατοπέδοις τοὺς ἐναντίους τροπούμενον,
and arms and camps the opponents routing
ἀλλ' ὀλίγοι γυμνοί, πτωχοί, καὶ ἀγράμματοι, διωκόμενοι,
but few naked poor and unlettered persecuted
αἰκιζόμενοι, θανατούμενοι, σταυρωθέντα σαρκί, καὶ θανόντα
tortured put-to-death (him)-crucified in-flesh and having-died
κηρύττοντες, τῶν σοφῶν καὶ δυνατῶν κατεκράτησαν·
proclaiming of-the wise and powerful prevailed
εἵπετο γὰρ αὐτοῖς τοῦ σταυρωθέντος ἡ παντοδύναμος
followed for them of-the crucified(-one) the all-powerful
δύναμις. Ὁ θάνατος ὁ πάλαι φοβερώτατος ἥττηται,
power the death the long-ago most-terrible has-been-defeated
καὶ τῆς ζωῆς νῦν ὁ παλαιστύγητος καὶ μισητὸς
and than-the life now the(-one) long-ago-loathed and hated
προκρίνεται. Ταῦτα τῆς τοῦ Χριστοῦ παρουσίας τὰ
is-preferred these (are)-of-the — of-Christ presence the
κατορθώματα· ταῦτα τῆς αὐτοῦ δυνάμεως τὰ γνωρίσματα.
achievements these of-the his power the marks
Οὐ γὰρ ὡς διὰ Μωϋσέως, ἕνα λαὸν ἐξ Αἰγύπτου καὶ
not for as through Moses one people from Egypt and
τῆς Φαραὼ δουλείας, θάλασσαν διαστήσας διέσωσε. Πᾶσαν
the of-Pharaoh slavery (the)-sea having-divided he-saved all

δὲ μᾶλλον τὴν ἀνθρωπότητα ἐκ φθορᾶς θανάτου καὶ τοῦ
but rather the humanity from corruption of-death and of-the
πικροῦ τυράννου, τῆς ἁμαρτίας ἐῤῥύσατο· οὐ βίᾳ ἄγων
bitter tyrant of-the sin be-rescued not by-force leading
πρὸς ἀρετήν, οὐ γῇ καταχωννύς, καὶ πυρὶ φλέγων,
to virtue not with-earth overwhelming and with-fire burning
καὶ λιθοβολεῖσθαι προστάσσων τοὺς ἁμαρτάνοντας, ἀλλὰ
and to-be-stoned ordering the(-ones) sinning but
πραότητι καὶ μακροθυμίᾳ πείθων τοὺς ἀνθρώπους αἱρεῖσθαι
by-meekness and long-suffering persuading the men to-choose
τὴν ἀρετήν, καὶ τοῖς ὑπὲρ ταύτης ἐναμιλλᾶσθαι πόνοις,
the virtue and in-the for this to-vie-in toils
καὶ ἐνηδύνεσθαι· πάλαι μὲν γὰρ ἁμαρτάνοντες ᾐκίζοντο,
and to-delight-in long-ago indeed for sinning they-were-tortured
καὶ ἔτι τῆς ἁμαρτίας ἀντείχοντο, καὶ θεὸς αὐτοῖς ἡ
and still to-the sin they-clung and (a)-god to-them the
ἁμαρτία λελόγιστο· νῦν δὲ ὑπὲρ εὐσεβείας καὶ ἀρετῆς
sin had-been-reckoned now but for piety and virtue
αἰκισμοὺς αἱροῦνται, καὶ στρεβλώσεις, καὶ θάνατον.
tortures they-choose and rackings and death
Εὖγε, ὦ Χριστὲ Θεοῦ Λόγε, καὶ σοφία, καὶ δύναμις, καὶ
well-done O Christ of-God Word and wisdom and power and
Θεὲ παντοκράτωρ· τί σοι τούτων ἁπάντων οἱ ἄποροι
God almighty what to-you for-these all the resourceless
ἡμεῖς ἀντιδοίημεν; Σὰ γὰρ ἅπαντα, καὶ αἰτεῖς παρ᾽
we might-repay yours for (are)-all(-things) and you-ask from
ἡμῶν οὐδέν, ἢ τὸ σώζεσθαι, αὐτὸς καὶ τοῦτο διδούς,
us nothing than the to-be-saved yourself also this giving
καὶ λαμβάνουσι χάριν εἰδώς, δι᾽ ἄφατον ἀγαθότητα·
and to-the-receiving gratitude knowing through unspeakable goodness
σοὶ χάρις, τῷ τὸ εἶναι δεδωκότι, καὶ τὸ εὖ εἶναι
to-you (be)-thanks to-the(-one) the to-be having-given and the well to-be

χαρισαμένῳ, κἀκ τούτου παραπεσόντας ἐπαναγαγόντι
having-granted and-from this having-fallen-away having-brought-back
πρὸς τοῦτο, διὰ τῆς ἀφάτου συγκαταβάσεως.
to this through the unspeakable condescension

Πρὸς τοὺς ἐρωτῶντας, εἰ ὑπόστασις τοῦ Χριστοῦ κτιστή ἐστιν, ἢ ἄκτιστος

LXXVIII · WHETHER CHRIST'S HYPOSTASIS IS CREATED

Before the incarnation the hypostasis of the Word was simple, bodiless, and uncreated; incarnate, it became the flesh's hypostasis and compound of the divinity and the flesh, bearing the properties of both natures, so that the one hypostasis is uncreated in the divinity and created in the humanity. Otherwise we must divide Christ into two hypostases or confuse the natures.

Ἡ ὑπόστασις τοῦ Θεοῦ Λόγου πρὸ τῆς σαρκώσεως,
the hypostasis — of-God Word before the incarnation
ἁπλῆ ἦν, καὶ ἀσύνθετος, καὶ ἀσώματος, καὶ ἄκτιστος,
simple was and uncompounded and bodiless and uncreated
σαρκωθεῖσα δὲ αὕτη, γέγονε καὶ τῇ σαρκὶ ὑπόστασις,
having-been-incarnate but it became also for-the flesh hypostasis
καὶ γέγονε σύνθετος ἐκ θεότητος, ἧς ἀεὶ εἶχε, καὶ ἐξ ἧς
and became compound from divinity which always it-had and from which
προσείληφε σαρκός· καὶ φέρει τῶν δύο φύσεων τὰ ἰδιώματα,
it-assumed flesh and bears of-the two natures the properties
ἐν δυσὶ γνωριζομένη φύσεσιν· ὥστε ἡ αὐτὴ μία ὑπόστασις,
in two being-known natures so-that the same one hypostasis
ἄκτιστός τέ ἐστι τῇ θεότητι, καὶ κτιστὴ τῇ ἀνθρωπότητι,
uncreated both is in-the divinity and created in-the humanity
ὁρατὴ καὶ ἀόρατος· ἐπεὶ ἀναγκαζόμεθα, ἢ διαιρεῖν τὸν ἕνα
visible and invisible since we-are-compelled either to-divide the one

Χριστόν, δύο τὰς ὑποστάσεις λέγοντες, ἢ τὴν τῶν φύσεων
Christ two the hypostases saying or the of-the natures
ἀρνεῖσθαι διαφοράν, καὶ τροπὴν εἰσάγειν, καὶ σύγχυσιν.
to-deny difference and change to-introduce and confusion

Περὶ τοῦ, πότε ἐκλήθη Χριστός

LXXIX · WHEN CHRIST WAS SO NAMED

Some falsely say the mind was united to the Word before the incarnation and called Christ then, which is Origen's nonsense of pre-existing souls; the Son became Christ when he dwelt in the Virgin's womb and the flesh was anointed with the divinity, as Gregory says. Cyril wrote to Theodosius and to the empresses that "Christ" names neither the Word without humanity nor a temple not united to the Word, and that the name came when the Word became flesh and was anointed with the Spirit; Athanasius agrees. "God has anointed you" is a past tense for a future, as Scripture often uses it.

Οὐχ ὥς τινες ψευδηγοροῦσι, πρὸ τῆς ἐκ Παρθένου
not as some falsely-assert before the from (the)-Virgin
σαρκώσεως ὁ νοῦς ἡνώθη τῷ Θεῷ Λόγῳ, καὶ ἐκ
incarnation the mind was-united — to-God Word and from
τότε ἐκλήθη Χριστός· τοῦτο τῶν Ὠριγένους ληρημάτων
then was-called Christ this (is)-of-the of-Origen nonsense
τὸ ἀτόπημα, προϋπαρξιν ψυχῶν δογματίσαντος. Ἡμεῖς
the absurdity (a)-pre-existence of-souls having-decreed we
δὲ Χριστὸν γεγενῆσθαί φαμεν τὸν Υἱὸν καὶ Λόγον
but Christ to-have-come-to-be we-say the Son and Word
τοῦ Θεοῦ, ἀφ' οὗ ἐν γαστρὶ τῆς ἁγίας Ἀειπαρθένου
— of-God from when in (the)-womb of-the holy Ever-Virgin
ἐσκήνωσε, καὶ σὰρξ ἀτρέπτως ἐγένετο, καὶ ἐχρίσθη ἡ
he-dwelt and flesh unchangeably became and was-anointed the

σὰρξ τῇ θεότητι. Χρίσις γὰρ αὕτη τῆς ἀνθρωπότητος,
flesh with-the divinity anointing for (is)-this of-the humanity
ὥς φησιν ὁ Θεολόγος Γρηγόριος. Καὶ ὁ ἱερώτατος
as says the Theologian Gregory and the most-sacred
δὲ ὁ τῆς Ἀλεξανδρέων Κύριλλος πρὸς τὸν βασιλέα
also the of-the(-city) of-the-Alexandrians Cyril to the emperor
Θεοδόσιον γράφων, τάδε ἔφησεν· «Χρῆναι γὰρ ἔγωγέ
Theodosius writing these-things said (it-is)-needful for I-for-my-part
φημι, μήτε τὸν ἐκ Θεοῦ Λόγον ἀνθρωπότητος δίχα, μήτε
say neither the from God Word of-humanity without nor
μὴν τὸν ἐκ γυναικὸς ἀποτεχθέντα ναόν, οὐχ ἑνωθέντα
indeed the(-one) from (a)-woman brought-forth temple not united
τῷ Λόγῳ, Χριστὸν Ἰησοῦν ὀνομάζεσθαι. Ἀνθρωπότητι
to-the Word Christ Jesus to-be-named with-humanity
γὰρ καθ' ἕνωσιν οἰκονομικὴν ἀποῤῥήτως συνενηνεγμένος
for by union dispensational ineffably brought-together
ὁ ἐκ Θεοῦ Λόγος, νοεῖται Χριστός.» Καὶ πρὸς τὰς
the from God Word is-understood (as)-Christ and to the
βασιλίδας οὕτως· «Τινές φασιν, ὅτι τὸ Χριστὸς ὄνομα
empresses thus some say that the Christ name
πρέπει καὶ μόνῳ καὶ ἰδίᾳ καθ' αὑτὸν νοουμένῳ, καὶ
belongs also to-only and separately by himself conceived and
ὑπάρχοντι, τῷ ἐκ Θεοῦ Πατρὸς γεννηθέντι Λόγῳ. Ἡμεῖς
existing the from God Father begotten Word we
δὲ οὐχ οὕτω δεδιδάγμεθα φρονεῖν, ἢ λέγειν· ὅτε γὰρ
but not so have-been-taught to-think or to-say when for
γέγονε σὰρξ ὁ Λόγος, τότε καὶ ὠνομάσθαι λέγομεν
became flesh the Word then also to-have-been-named we-say
αὐτὸν Χριστὸν Ἰησοῦν. Ἐπειδὴ γὰρ κέχρισται τῷ
him Christ Jesus since for he-has-been-anointed with-the
ἐλαίῳ τῆς ἀγαλλιάσεως, ἤτοι τῷ Πνεύματι, παρὰ τοῦ
oil of-the gladness that-is with-the Spirit by —

Θεοῦ καὶ Πατρός, ταύτητοι Χριστὸς ὀνομάζεται. Ὅτι
God and Father therefore Christ he-is-named that
δὲ περὶ τὸ ἀνθρώπινον ἡ χρίσις, οὐκ ἂν ἐνδοιάσειέ
but about the human(-nature) (is)-the anointing not — would-doubt
τις τῶν ὀρθὰ φρονεῖν εἰωθότων.» Καὶ Ἀθανάσιος δὲ
anyone of-the(-ones) rightly to-think accustomed and Athanasius too
ὁ παναοίδιμος ἐν τῷ περὶ τῆς σωτηριώδους ἐπιφανείας
the all-celebrated in the about the saving appearance
λόγῳ, ὧδέ πῃ λέγει· «Ὁ προϋπάρχων Θεὸς πρὸ τῆς
discourse here somewhere says the pre-existing God before the
ἐν σαρκὶ ἐπιδημίας, οὐκ ἦν ἄνθρωπος, ἀλλὰ Θεὸς ἦν
in flesh sojourn not was man but God was
πρὸς τὸν Θεόν, ἀόρατος καὶ ἀπαθὴς ὤν· ὅτε δὲ γέγονεν
with — God invisible and impassible being when but he-became
ἄνθρωπος, τὸ Χριστὸς ὄνομα διὰ τῆς σαρκὸς προσάγεται,
man the Christ name through the flesh is-applied
ἐπειδὴ ἀκολουθεῖ τῷ ὀνόματι τὸ πάθος καὶ ὁ θάνατος.»
since follows the name the passion and the death
Εἰ δὲ καὶ ἡ θεία Γραφή φησι· Διὰ τοῦτο ἔχρισέ σε ὁ
if and also the divine Scripture says for this anointed you —
Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως, ἰστέον ὡς
God — God your (with)-oil of-gladness (one)-must-know that
πολλάκις κέχρηται ἡ θεία Γραφὴ τῷ παρῳχηκότι χρόνῳ
often uses the divine Scripture the past tense
ἀντὶ τοῦ μέλλοντος, ὡς τό· Μετὰ ταῦτα ἐπὶ τῆς
instead-of the future as the(-saying) after these-things on the
γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Οὔπω γὰρ
earth he-was-seen and with-the men conversed not-yet for
ὤφθη, οὐδὲ συνανεστράφη Θεὸς ἀνθρώποις, ὅτε ταῦτα
was-seen nor conversed God with-men when these-things

ἐλέγετο. Καὶ τό· Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, ἐκεῖ
were-said and the(-saying) by the rivers of-Babylon there
ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν. Οὐδέπω γὰρ ταῦτα ἐγεγόνει.
we-sat and wept not-yet for these-things had-happened

Πρὸς τοὺς ἐπερωτῶντας, εἰ δύο φύσεις ἐγέννησεν ἡ ἁγία Θεοτόκος, καὶ εἰ δύο φύσεις ἐπὶ σταυροῦ ἐκρέμαντο

LXXX · WHETHER THE GOD-BEARER BORE TWO NATURES

"Ungenerated" with one n marks nature, the uncreated; "unbegotten" with two marks hypostasis. So the divine nature is ungenerated, the Father unbegotten, the Son begotten, the Spirit proceeding. Since begetting is of the hypostasis, the God-bearer bore one hypostasis known in two natures, begotten timelessly of the Father and born in time of her. Asked whether she bore two natures, we say yes, he is God and man; but two natures were not crucified: Christ suffered in the flesh, his divinity impassible.

Φύσεως μέν ἐστι τὸ ἀγένητον καὶ γενητόν, διὰ τοῦ
of-nature indeed is the ungenerated and generated through the
ἑνὸς ν γραφόμενον, ὅπερ δηλοῖ τὸ ἄκτιστον καὶ τὸ
one n written which shows the uncreated and the
κτιστόν· τὸ δὲ ἀγέννητον καὶ γεννητόν, οὐ φύσεως, ἀλλ'
created the but unbegotten and begotten not of-nature but
ὑποστάσεως· ἤτοι τὸ γεννηθῆναι καὶ μὴ γεννηθῆναι· ὅπερ
of-hypostasis that-is the to-be-begotten and not to-be-begotten which
διὰ τῶν δύο νν ἐκφέρεται. Ἔστι μὲν οὖν ἡ μὲν θεία
through the two nn is-expressed is indeed then the indeed divine
φύσις ἀγένητος, ἤτοι ἄκτιστος, πάντα δὲ τὰ μετὰ
nature ungenerated that-is uncreated all but the(-things) after
τὴν θείαν φύσιν γενητά, ἤτοι κτιστά. Θεωρεῖται τοίνυν
the divine nature generated that-is created is-contemplated therefore

ἐν μὲν τῇ θείᾳ καὶ ἀκτίστῳ φύσει, τὸ μὲν ἀγέννητον ἐν
in indeed the divine and uncreated nature the indeed unbegotten in
τῷ Πατρί· οὐ γὰρ ἐγεννήθη· τὸ δὲ γεννητὸν ἐν τῷ Υἱῷ·
the Father not for he-was-begotten the but begotten in the Son
ἐκ Πατρὸς γὰρ ἀϊδίως γεγέννηται· τὸ δὲ ἐκπορευτὸν
from (the)-Father for everlastingly he-has-been-begotten the but proceeding
ἐν τῷ ἁγίῳ Πνεύματι. Ἑκάστου δὲ εἴδους ζώων, τὰ μὲν
in the holy Spirit of-each and species of-animals the indeed
πρῶτα, ἀγέννητα, ἀλλ᾽ οὐκ ἀγένητα· γεγόνασι γὰρ ὑπὸ
first (are)-unbegotten but not ungenerated they-came-to-be for by
τοῦ Δημιουργοῦ, οὐκ ἐγεννήθησαν δὲ ἐξ ὁμοίων. Γένεσις
the Creator not they-were-begotten but from likes generation
μὲν γὰρ κτίσις ἐστί· γέννησις δέ, ἐπὶ μὲν Θεοῦ, ἐκ
indeed for creation is begetting but in-the-case-of indeed God from
μόνου Πατρός, ὁμοουσίου Υἱοῦ πρόοδος· ἐπὶ δὲ
only (the)-Father of-(the)-consubstantial Son (the)-procession in-the-case-of but
τῶν σωμάτων, ἡ ἐκ συναφείας ἄῤῥενός τε καὶ θηλείας,
the bodies the from conjunction of-male both and female
ὁμοουσίου ὑποστάσεως πρόοδος. Ὅθεν γινώσκομεν, ὡς
of-(a)-consubstantial hypostasis (the)-procession whence we-know that
οὐκ ἔστι φύσεως τὸ γεννᾶσθαι, ἀλλ᾽ ὑποστάσεως. Εἰ γὰρ
not is of-nature the to-be-begotten but of-hypostasis if for
φύσεως ἦν, οὐκ ἂν ἐν τῇ φύσει τὸ γεννητὸν ἐθεωρεῖτο
of-nature it-were not — in the nature the begotten would-be-contemplated
καὶ τὸ ἀγέννητον. Ὑπόστασιν τοίνυν ἐγέννησεν ἡ ἁγία
and the unbegotten (a)-hypostasis therefore bore the holy
Θεοτόκος ἐν δυσὶ γνωριζομένην ταῖς φύσεσι, θεότητι μέν,
God-bearer in two being-known the natures in-divinity indeed
ἐκ Πατρὸς γεννηθεῖσαν ἀχρόνως, ἐπ᾽ ἐσχάτων δέ, ἐν
from (the)-Father begotten timelessly at (the)-last but in
χρόνῳ ἐξ αὐτῆς σαρκωθεῖσαν, καὶ σαρκὶ τικτομένην.
time from her incarnate and in-flesh brought-forth

Εἰ δὲ οἱ ἐρωτῶντες αἰνίττοιντο, ὅτι ὁ γεννηθεὶς ἐκ
if and the(-ones) asking should-hint that the(-one) born from
τῆς ἁγίας Θεοτόκου δύο φύσεις ἐστί, φαμέν· Ναί, δύο φύσεις
the holy God-bearer two natures is we-say yes two natures
ἐστί· Θεὸς γάρ ἐστιν ὁ αὐτὸς καὶ ἄνθρωπος. Ὁμοίως καὶ
he-is God for is the same and man likewise also
περὶ τῆς σταυρώσεως, ἀναστάσεώς τε καὶ ἀναλήψεως. Οὐ
about the crucifixion resurrection both and ascension not
φύσεως γὰρ ταῦτά ἐστιν, ἀλλ' ὑποστάσεως. Ἔπαθεν οὖν ὁ
of-nature for these-things are but of-hypostasis suffered then —
Χριστός, ἐν δυσὶ φύσεσιν ὤν, τῇ παθητῇ φύσει, ἐσταυρώθη
Christ in two natures being in-the passible nature was-crucified
τε· σαρκὶ γὰρ ἐπὶ σταυροῦ ἐκρεμᾶτο, καὶ οὐ θεότητι. Ἐπεὶ
both in-flesh for on (the)-cross he-hung and not in-divinity since
εἰ εἴπωσιν, ἡμῖν ἐρωτῶσιν· Δύο φύσεις ἀπέθανον; Οὐχί,
if they-should-say to-us asking two natures died no
ἐροῦμεν. Οὐκοῦν οὐδὲ δύο φύσεις ἐσταυρώθησαν, ἀλλ'
we-shall-say therefore not-even two natures were-crucified but
ἐγεννήθη ὁ Χριστός, ἤτοι ὁ θεῖος Λόγος ἐνανθρωπήσας,
was-born — Christ that-is the divine Word having-become-man
ἐγεννήθη σαρκί, ἐσταυρώθη σαρκί, ἔπαθε σαρκί, ἀπέθανε
he-was-born in-flesh was-crucified in-flesh suffered in-flesh died
σαρκί, ἀπαθοῦς μεινάσης αὐτοῦ τῆς θεότητος.
in-flesh impassible having-remained his the divinity

Πῶς πρωτότοκος λέγεται ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ

LXXXI · HOW THE ONLY-BEGOTTEN SON OF GOD IS CALLED FIRST-BORN

The first-born is the one first begotten, whether an only son or the eldest. The Son is called both: first-born of all creation, since both he and creation are from God, though he alone is from the Father's substance and timelessly, so not first-created; and first-born among many brothers, since he shared our flesh and we, adopted through baptism, became sons by grace. So he said "my Father and your Father," by nature and by grace, and "my God and your God."

Πρωτότοκός ἐστιν ὁ πρῶτος γεννηθείς, εἴτε μονογενής,
first-born is the(-one) first begotten whether only-begotten
εἴτε καὶ πρὸ ἄλλων ἀδελφῶν. Εἰ μὲν οὖν ἐλέγετο ὁ
or also before other brothers if indeed then was-called the
Υἱὸς τοῦ Θεοῦ πρωτότοκος, μονογενὴς δὲ οὐκ ἐλέγετο,
Son — of-God first-born only-begotten but not was-called
ὑπενοήσαμεν ἂν κτισμάτων αὐτὸν εἶναι πρωτότοκον,
we-would-have-suspected — of-creatures him to-be first-born
ὡς κτίσμα ὑπάρχοντα. Ἐπειδὴ δὲ καὶ πρωτότοκος, καὶ
as creature being since but both first-born and
μονογενὴς λέγεται, δεῖ καὶ ἀμφότερα τηρῆσαι ἐπ' αὐτοῦ.
only-begotten he-is-called (one)-must also both to-keep in him
Πρωτότοκον μὲν αὐτόν φαμεν πάσης κτίσεως, ἐπειδὴ καὶ
first-born indeed him we-call of-all creation since both
αὐτὸς ἐκ τοῦ Θεοῦ, καὶ ἡ κτίσις ἐκ τοῦ Θεοῦ, ἀλλ' αὐτὸς
he from — God and the creation from — God but he
μὲν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς μόνος ἀχρόνως
indeed from the substance — of-God and Father alone timelessly
γεγεννημένος, εἰκότως Υἱὸς μονογενὴς πρωτότοκος, καὶ οὐ
begotten fittingly Son only-begotten first-born and not
πρωτόκτιστος λεχθήσεται. Ἡ γὰρ κτίσις οὐκ ἐκ τῆς οὐσίας
first-created will-be-called the for creation not from the substance

τοῦ Πατρός, ἀλλὰ θελήματι αὐτοῦ ἐκ τοῦ μὴ ὄντος εἰς
of-the Father but by-will his from the not being into
τὸ εἶναι παρήχθη. Πρωτότοκος δέ, ἐν πολλοῖς ἀδελφοῖς·
the to-be was-brought first-born and among many brothers
μονογενὴς γὰρ ὤν, καὶ ἐκ μητρός· ἐπειδήπερ μετέσχεν
only-begotten for being also from (a)-mother since he-partook
αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν, καὶ ἄνθρωπος
of-blood and flesh like us and man
γέγονε, γεγόναμεν δὲ καὶ ἡμεῖς δι' αὐτοῦ υἱοὶ Θεοῦ,
he-became we-have-become and also we through him sons of-God
υἱοθετηθέντες διὰ τοῦ βαπτίσματος· αὐτὸς ὁ φύσει Υἱὸς
having-been-adopted through the baptism he the by-nature Son
τοῦ Θεοῦ, πρωτότοκος ἐν ἡμῖν τοῖς θέσει καὶ χάριτι
— of-God first-born among us the by-adoption and grace
υἱοῖς Θεοῦ γενομένοις καὶ ἀδελφοῖς αὐτοῦ χρηματίσασι,
sons of-God having-become and brothers his having-been-called
γέγονεν. Ὅθεν ἔλεγεν· Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ
has-become whence he-said I-ascend to the Father my and
Πατέρα ὑμῶν. Οὐκ εἶπε, Πατέρα ἡμῶν, ἀλλὰ Πατέρα μου,
Father your not he-said Father our but Father my
φύσει δηλονότι, καὶ Πατέρα ὑμῶν, χάριτι. Καί, Θεόν μου,
by-nature evidently and Father your by-grace and God my
καὶ Θεὸν ὑμῶν. Καὶ οὐκ εἶπε, Θεὸν ἡμῶν, ἀλλά, Θεόν μου· ἂν
and God your and not he-said God our but God my if
διέλῃς λεπταῖς ταῖς ἐπινοίαις τὸ ὁρώμενον ἐκ τοῦ
you-divide by-fine the thoughts the(-thing) seen from the(-thing)
νοουμένου, καὶ Θεὸν ὑμῶν, ὡς δημιουργὸν καὶ Κύριον.
thought and God your as creator and Lord

Περὶ πίστεως καὶ βαπτίσματος

LXXXII · FAITH AND BAPTISM

We confess one baptism, for the remission of sins: it shows the Lord's death, so it is given once, in the name of Father, Son, and Spirit, with three immersions for the three days. Those baptized into the Trinity are not baptized again; those not so baptized must be. Since man is double, the cleansing is double, the Spirit renewing the image and the water cleansing the body, as water cleansed from the beginning. Remission is given to all alike, the Spirit's grace by the measure of faith, so we must keep ourselves pure, for faith without works is dead. John counts eight baptisms, from the flood to the last, which punishes, and warns against deferring baptism.

Ὁμολογοῦμεν δὲ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν
we-confess and one baptism for (the)-remission of-sins
καὶ εἰς ζωὴν αἰώνιον. Τὸ γὰρ βάπτισμα τὸν τοῦ Κυρίου
and for life eternal the for baptism the of-the Lord
θάνατον δηλοῖ. Συνθαπτόμεθα γοῦν τῷ Κυρίῳ διὰ
death shows we-are-buried-with at-any-rate the Lord through
τοῦ βαπτίσματος, ὥς φησιν ὁ θεῖος Ἀπόστολος. Ὥσπερ
the baptism as says the divine Apostle as
οὖν ἅπαξ ἐτελέσθη ὁ τοῦ Κυρίου θάνατος, οὕτως καὶ
then once was-accomplished the of-the Lord death so also
ἅπαξ δεῖ βαπτίζεσθαι· βαπτίζεσθαι δὲ κατὰ τὸν τοῦ
once (one)-must be-baptized to-be-baptized and according-to the of-the
Κυρίου Λόγον, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ,
Lord Word in the name of-the Father and of-the Son
καὶ τοῦ ἁγίου Πνεύματος, διδασκομένους τὴν εἰς Πατέρα
and of-the holy Spirit being-taught the in Father
καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ὁμολογίαν. Ὅσοι τοίνυν εἰς
and Son and holy Spirit confession as-many-as therefore in
Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα βαπτισθέντες, μίαν
Father and Son and holy Spirit having-been-baptized one

φύσιν τῆς θεότητος ἐν τρισὶν ὑποστάσεσι διδαχθέντες,
nature of-the divinity in three hypostases having-been-taught
αὖθις ἀναβαπτίζονται, οὗτοι ἀνασταυροῦσι τὸν Χριστόν,
again are-rebaptized these crucify-again — Christ
ὥς φησιν ὁ θεῖος Ἀπόστολος. Ἀδύνατον γὰρ τοὺς
as says the divine Apostle (it-is)-impossible for the(-ones)
ἅπαξ φωτισθέντας, καὶ τὰ ἑξῆς, αὖθις ἀνακαινίζειν
once enlightened and the(-words) following again to-renew
εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν Χριστόν, καὶ
to repentance crucifying-again for-themselves — Christ and
παραδειγματίζοντας. Ὅσοι δὲ μὴ εἰς τὴν ἁγίαν Τριάδα
making-a-spectacle(-of-him) as-many-as but not in the holy Trinity
ἐβαπτίσθησαν, τούτους δεῖ ἀναβαπτίζεσθαι. Εἰ γὰρ καί
were-baptized these must be-rebaptized if for even
φησιν ὁ θεῖος Ἀπόστολος, ὅτι Εἰς Χριστὸν καὶ εἰς
says the divine Apostle that into Christ and into
τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν, οὐχ οὕτω δεῖν
the death his we-were-baptized not so (it-is)-necessary
γίνεσθαί φησι τοῦ βαπτίσματος τὴν ἐπίκλησιν, ἀλλ' ὅτι
to-be-made he-says of-the baptism the invocation but that
τύπος τοῦ θανάτου τοῦ Χριστοῦ ἐστι τὸ βάπτισμα. Διὰ
(a)-figure of-the death — of-Christ is the baptism through
γὰρ τῶν τριῶν καταδύσεων, τὰς τρεῖς ἡμέρας τῆς τοῦ
for the three immersions the three days of-the of-the
Κυρίου ταφῆς σημαίνει τὸ βάπτισμα. Τὸ οὖν εἰς Χριστὸν
Lord burial signifies the baptism the then into Christ
βαπτισθῆναι δηλοῖ, τὸ πιστεύοντας εἰς αὐτὸν βαπτίζεσθαι.
to-be-baptized shows the believing in him to-be-baptized
Ἀδύνατον δὲ εἰς Χριστὸν πιστεῦσαι, μὴ διδαχθέντας τὴν
(it-is)-impossible and in Christ to-believe not having-been-taught the
εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ὁμολογίαν. Χριστὸς
in Father and Son and holy Spirit confession Christ

γάρ ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὃν ἔχρισεν ὁ
for is the Son — of-God the living whom anointed the
Πατὴρ τῷ ἁγίῳ Πνεύματι, ὡς φησιν ὁ θεῖος Δαβίδ· Διὰ
Father with-the holy Spirit as says the divine David for
τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως
this anointed you — God — God your (with)-oil of-gladness
παρὰ τοὺς μετόχους σου. Καὶ Ἡσαΐας ἐκ προσώπου
beyond the fellows your and Isaiah from (the)-person
τοῦ Κυρίου· Πνεῦμα Κυρίου ἐπ᾽ ἐμέ, οὗ ἕνεκεν
of-the Lord (the)-Spirit of-(the)-Lord (is)-upon me for-which cause
ἔχρισέ με. Τὴν μέντοι ἐπίκλησιν τοὺς οἰκείους μαθητὰς ὁ
he-anointed me the however invocation the own disciples the
Κύριος διδάσκων ἔλεγε· Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα
Lord teaching said baptizing them in the name
τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.
of-the Father and of-the Son and of-the holy Spirit
Ἐπειδὴ γὰρ ἐπ᾽ ἀφθαρσίαν πεποίηκεν ἡμᾶς ὁ Θεός,
since for unto incorruption made us — God
παραβάντας δὲ τὴν σωτήριον αὐτοῦ ἐντολήν, φθορᾷ
having-transgressed but the saving his commandment to-corruption
θανάτου κατεδίκασεν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν,
of-death he-condemned(-us) that not immortal may-be the evil
συγκαταβὰς δὲ τοῖς δούλοις, ὡς εὔσπλαγχνος, καὶ καθ᾽
having-condescended and to-the servants as compassionate and like
ἡμᾶς δὲ γεγονώς, τῆς φθορᾶς διὰ τοῦ ἰδίου πάθους
us also having-become from-the corruption through the own passion
ἐλυτρώσατο· ἐπήγασεν ἡμῖν ἐκ τῆς ἁγίας καὶ ἀχράντου
he-redeemed(-us) he-made-gush for-us from the holy and undefiled
αὐτοῦ πλευρᾶς πηγὴν ἀφέσεως· ὕδωρ μὲν εἰς ἀναγέννησιν
his side (a)-fount of-remission water indeed for regeneration
καὶ ἐπίκλυσιν τῆς τε ἁμαρτίας καὶ τῆς φθορᾶς· αἷμα δέ,
and washing-away of-the both sin and of-the corruption blood but

πότον ζωῆς ἀϊδίου πρόξενον. Ἐντολὰς δὲ ἡμῖν δέδωκε
(a)-drink of-life everlasting procuring commandments and to-us he-has-given
δι᾽ ὕδατος ἀναγεννᾶσθαι καὶ Πνεύματος, δι᾽ ἐντεύξεως
through water to-be-born-again and Spirit through prayer
καὶ ἐπικλήσεως, τῷ ὕδατι ἐπιφοιτῶντος τοῦ ἁγίου
and invocation upon-the water coming the holy
Πνεύματος. Ἐπειδὴ γὰρ διπλοῦς ὁ ἄνθρωπος, ἐκ ψυχῆς
Spirit since for double (is)-the man from soul
τε καὶ σώματος, διπλῆν ἡμῖν ἔδωκε καὶ τὴν κάθαρσιν, δι᾽
both and body double to-us he-gave also the cleansing through
ὕδατός τε καὶ Πνεύματος· τοῦ μὲν Πνεύματος, τὸ κατ᾽
water both and Spirit of-the indeed Spirit the according-to
εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἐν ἡμῖν ἀνακαινίζοντος, τοῦ δὲ
image and according-to likeness in us renewing of-the but
ὕδατος, διὰ τῆς τοῦ Πνεύματος χάριτος καθαίροντος τὸ
water through the of-the Spirit grace cleansing the
σῶμα τῆς ἁμαρτίας, καὶ τῆς φθορᾶς ἀπαλλάττοντος,
body from-the sin and from-the corruption freeing
καὶ τὴν τοῦ θανάτου εἰκόνα ἐκπληροῦντος τοῦ ὕδατος,
and the of-the death image fulfilling the water
τὸν δὲ τῆς ζωῆς ἀῤῥαβῶνα παρεχομένου τοῦ Πνεύματος.
the and of-the life pledge providing the Spirit
Ἀπ᾽ ἀρχῆς γὰρ Πνεῦμα Θεοῦ τοῖς ὕδασιν ἐπεφέρετο·
from (the)-beginning for (the)-Spirit of-God over-the waters was-borne
καὶ ἄνωθεν ἡ Γραφὴ μαρτυρεῖ τῷ ὕδατι, ὡς ἐστὶ
and from-of-old the Scripture bears-witness to-the water that it-is
καθαρτήριον. Ἐπὶ Νῶε δι᾽ ὕδατος ὁ Θεὸς τὴν
cleansing in-the-time-of Noah through water — God the
κοσμικὴν ἁμαρτίαν κατέκλυσε. Δι᾽ ὕδατος πᾶς ἀκάθαρτος
cosmic sin flooded-away through water every unclean(-man)
κατὰ τὸν νόμον καθαίρεται, καὶ αὐτῶν τῶν ἱματίων
according-to the law is-cleansed and themselves the garments

πλυνομένων τῷ ὕδατι, ἔδειξεν Ἠλίας τὴν χάριν τοῦ
being-washed with-the water showed Elijah the grace of-the
Πνεύματος συμμεμιγμένην τῷ ὕδατι, ὕδατι φλέξας τὴν
Spirit mingled with-the water with-water having-kindled the
ὁλοκαύτωσιν. Καὶ σχεδὸν ἅπαντα κατὰ τὸν νόμον ὕδατι
whole-burnt-offering and almost all(-things) according-to the law with-water
καθαρίζεται· τὰ γὰρ ὁρατά, σύμβολα τῶν νοουμένων
are-cleansed the for visible(-things) symbols of-the(-things) thought
εἰσίν· ἡ μέντοι ἀναγέννησις κατὰ ψυχὴν γίνεται· πίστις
are the however regeneration according-to soul comes-about faith
γὰρ υἱοθετεῖν οἶδε, καίτοι ὄντας κτίσματα διὰ τοῦ
for to-adopt knows-how although being creatures through the
Πνεύματος, καὶ εἰς τὴν ἀρχαίαν ἄγειν μακαριότητα.
Spirit and into the ancient to-lead blessedness
Ἡ μὲν οὖν τῶν ἁμαρτιῶν ἄφεσις, πᾶσιν ὁμοίως διὰ τοῦ
the indeed then of-the sins remission to-all alike through the
βαπτίσματος δίδοται· ἡ δὲ χάρις τοῦ Πνεύματος κατὰ τὴν
baptism is-given the but grace of-the Spirit according-to the
ἀναλογίαν τῆς πίστεως καὶ τῆς προκαθάρσεως. Νῦν μὲν οὖν
proportion of-the faith and of-the prior-cleansing now indeed then
διὰ τοῦ βαπτίσματος τὴν ἀπαρχὴν τοῦ ἁγίου Πνεύματος
through the baptism the first-fruits of-the holy Spirit
λαμβάνομεν, καὶ ἀρχὴ ἑτέρου βίου γίνεται ἡμῖν ἡ
we-receive and (the)-beginning of-another life becomes for-us the
παλιγγενεσία, καὶ σφραγίς, καὶ φυλακτήριον, καὶ φωτισμός.
regeneration and seal and safeguard and illumination
Χρὴ δὲ πάσῃ δυνάμει ἀσφαλῶς τηρεῖν ἑαυτοὺς καθαροὺς
(one)-must and with-all power securely to-keep ourselves pure
ἀπὸ ῥυπαρῶν ἔργων, ἵνα μὴ πάλιν ὥσπερ κύων ἐπὶ
from filthy works that not again as (a)-dog to
τὸν ἴδιον ἔμετον ἐπιστρέψαντες, δούλους πάλιν ἑαυτοὺς
the own vomit having-returned slaves again ourselves

τῆς ἁμαρτίας ποιήσωμεν. Πίστις γὰρ χωρὶς ἔργων νεκρά
of-the sin we-make faith for without works dead
ἐστιν, ὁμοίως καὶ ἔργα χωρὶς πίστεως. Ἡ γὰρ ἀληθὴς
is likewise also works without faith the for true
πίστις διὰ τῶν ἔργων δοκιμάζεται.
faith through the works is-proved
Βαπτιζόμεθα δὲ εἰς τὴν ἁγίαν Τριάδα, ὅτι αὐτὰ τὰ
we-are-baptized and into the holy Trinity because the-very the(-things)
βαπτιζόμενα χρήζει τῆς ἁγίας Τριάδος εἰς τὴν αὐτῶν
being-baptized need the holy Trinity for the their
σύστασίν τε καὶ διαμονήν, καὶ ἀδύνατον μὴ συμπαρεῖναι
constitution both and continuance and (it-is)-impossible not to-be-present-together
ἀλλήλαις τὰς τρεῖς ὑποστάσεις· ἀχώριστος γὰρ ἡ
with-one-another the three hypostases inseparable for (is)-the
ἁγία Τριάς.
holy Trinity
Πρῶτον βάπτισμα, τοῦ κατακλυσμοῦ, εἰς ἐκκοπὴν
first baptism (is)-that-of-the flood for (the)-cutting-off
ἁμαρτίας. Δεύτερον, τὸ διὰ τῆς θαλάσσης καὶ τῆς
of-sin second the(-one) through the sea and the
νεφέλης· σύμβολον γάρ, ἡ μὲν νεφέλη τοῦ Πνεύματος,
cloud (a)-symbol for (is)-the indeed cloud of-the Spirit
ἡ θάλασσα δέ, τοῦ ὕδατος. Τρίτον τὸ νομικόν· πᾶς γὰρ
the sea but of-the water third the legal every for
ἀκάθαρτος ἀπελούετο ὕδατι, ἔπλυνέ τε τὰ ἱμάτια, καὶ
unclean(-man) washed-himself with-water washed both the garments and
οὕτως εἰσῄει εἰς τὴν παρεμβολήν. Τέταρτον τὸ Ἰωάννου,
so entered into the camp fourth the of-John
εἰσαγωγικὸν ὑπάρχον, καὶ εἰς μετάνοιαν ἄγον τοὺς
introductory being and to repentance leading the(-ones)
βαπτιζομένους, ἵνα εἰς Χριστὸν πιστεύσωσιν. Ἐγὼ γὰρ
being-baptized that in Christ they-might-believe I for

ὑμᾶς, φησί, βαπτίζω ὕδατι· ὁ δὲ ὀπίσω μου ἐρχόμενος,
you he-says baptize with-water the but after me coming
αὐτὸς ὑμᾶς, φησί, βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί.
he you he-says will-baptize in (the)-Spirit holy and fire
Προκαθαίρει οὖν ὁ Ἰωάννης ἐπὶ τὸ Πνεῦμα διὰ τοῦ
pre-cleanses then — John for the Spirit through the
ὕδατος. Πέμπτον, τὸ τοῦ Κυρίου βάπτισμα, ὃ αὐτὸς
water fifth the of-the Lord baptism with-which he
ἐβαπτίσατο. Βαπτίζεται δέ, οὐχ ὡς αὐτὸς χρῄζων καθάρσεως,
was-baptized he-is-baptized and not as himself needing cleansing
ἀλλὰ τὴν ἐμὴν οἰκειούμενος κάθαρσιν, ἵνα συντρίψῃ τὰς
but the my appropriating cleansing that he-might-crush the
κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος, ἵνα κλύσῃ
heads of-the dragons upon the water that he-might-wash-away
τὴν ἁμαρτίαν, καὶ πάντα τὸν παλαιὸν Ἀδὰμ ἐνθάψῃ τῷ
the sin and all the old Adam he-might-bury in-the
ὕδατι, ἵνα ἁγιάσῃ τὸν βαπτιστήν, ἵνα πληρώσῃ τὸν
water that he-might-sanctify the baptist that he-might-fulfill the
νόμον, ἵνα τὸ τῆς Τριάδος ἀποκαλύψῃ μυστήριον, ἵνα τύπος
law that the of-the Trinity he-might-reveal mystery that (a)-type
καὶ ὑπογραμμὸς ἡμῖν πρὸς τὸ βαπτίζεσθαι γένηται.
and model for-us for the to-be-baptized he-might-become
Βαπτιζόμεθα δὲ καὶ ἡμεῖς τὸ τέλειον τοῦ Κυρίου βάπτισμα,
we-are-baptized and also we the perfect of-the Lord baptism
τὸ δι' ὕδατός τε καὶ Πνεύματος. Πυρὶ δὲ λέγεται
the(-one) through water both and Spirit with-fire and is-said
βαπτίζειν ὁ Χριστός· ἐν εἴδει γὰρ πυρίνων γλωσσῶν ἐπὶ
to-baptize — Christ in (the)-form for of-fiery tongues upon
τοὺς ἁγίους ἀποστόλους τὴν τοῦ Πνεύματος χάριν ἐξέχεεν,
the holy apostles the of-the Spirit grace he-poured-out
ὥς φησιν αὐτὸς ὁ Κύριος, ὅτι Ἰωάννης μὲν ἐβάπτισεν
as says he-himself the Lord that John indeed baptized

ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ καὶ πυρί,
with-water you but will-be-baptized in (the)-Spirit holy and fire
οὐ μετὰ πολλὰς ταύτας ἡμέρας· ἢ διὰ τὸ τοῦ μέλλοντος
not after many these days or because-of the of-the coming
πυρὸς κολαστικὸν βάπτισμα. Ἕκτον, τὸ διὰ μετανοίας
fire punitive baptism sixth the(-one) through repentance
καὶ δακρύων, ὄντως ἐπίπονον. Ἕβδομον, τὸ δι'
and tears truly laborious seventh the(-one) through
αἵματος καὶ μαρτυρίου, ὃ καὶ αὐτὸς ὁ Χριστὸς ὑπὲρ
blood and martyrdom with-which also himself — Christ for
ἡμῶν ἐβαπτίσατο, ὡς λίαν αἰδέσιμον καὶ μακάριον, ὅσον
us was-baptized as very venerable and blessed inasmuch-as
δευτέροις οὐ μολύνεται ῥύποις. Ὄγδοον, τὸ τελευταῖον, οὐ
by-second not it-is-stained filth eighth the last not
σωτήριον, ἀλλὰ τῆς μὲν κακίας ἀναιρετικόν· οὐκ ἔτι γὰρ
saving but of-the indeed wickedness destructive no longer for
κακία καὶ ἁμαρτία πολιτεύεται· κολάζον δὲ ἀτελεύτητα.
wickedness and sin have-citizenship punishing but endlessly
Σωματικῷ δὲ εἴδει, ὡσεὶ περιστερά, ἐπεφοίτησε τὸ
in-bodily and form like (a)-dove came-upon(-him) the
Πνεῦμα τὸ ἅγιον, τὴν ἀπαρχὴν τοῦ ἡμετέρου ὑποδεικνύον
Spirit the holy the first-fruits of-the our showing
βαπτίσματος, καὶ τιμῶν τὸ σῶμα· ἐπεὶ καὶ τοῦτο, ἤγουν
baptism and honoring the body since also this that-is
τὸ σῶμα, τῇ θεώσει Θεός, καὶ ἅμα που ἄνωθεν
the body by-the deification (is)-God and at-the-same-time somehow from-of-old
εἴθισται περιστερὰ λύσιν κατακλυσμοῦ εὐαγγελίζεσθαι.
(it-is)-customary (for-a)-dove (the)-end of-(the)-flood to-announce
Ἐπὶ δὲ τοὺς ἁγίους ἀποστόλους πυροειδῶς κάτεισι. Θεὸς
upon and the holy apostles in-fiery-form it-descends God
γάρ ἐστιν· ὁ δὲ Θεὸς πῦρ καταναλίσκον ἐστί.
for it-is — and God (a)-fire consuming is

Τὸ ἔλαιον βαπτίσματι παραλαμβάνεται, μηνύον τὴν χρίσιν
the oil in-baptism is-taken-up indicating the anointing
ἡμῶν, καὶ χριστοὺς ἡμᾶς ἐργαζόμενον, καὶ τὸν τοῦ Θεοῦ
our and christs us making and the — of-God
ἡμῖν ἐπαγγελλόμενον διὰ τοῦ ἁγίου Πνεύματος ἔλεον,
to-us announcing through the holy Spirit mercy
ἐπεὶ καὶ κάρφος ἐλαίας τοῖς ἐκ τοῦ κατακλυσμοῦ
since also (a)-twig of-olive to-the(-ones) from the flood
περισωθεῖσιν ἡ περιστερὰ κεκόμικεν.
saved the dove brought
Ἐβαπτίσθη Ἰωάννης, τὴν χεῖρα ἐπιθεὶς ἐπὶ τὴν θείαν τοῦ
was-baptized John the hand having-laid on the divine of-the
Δεσπότου κορυφήν, καὶ τῷ ἰδίῳ αἵματι.
Master head and in-the own blood
Οὐ χρὴ ὑπερτίθεσθαι τὸ βάπτισμα, ὅτε δι᾽ ἔργων
not (one)-must defer the baptism when through works
ἡ πίστις τῶν προσιόντων μαρτυρηθῇ. Ὁ γὰρ ἐν
the faith of-the(-ones) approaching has-been-attested the(-one) for in
δόλῳ προσιὼν τῷ βαπτίσματι, κατακριθήσεται μᾶλλον
guile approaching to-the baptism will-be-condemned rather
ἢ ὠφεληθήσεται.
than will-be-benefited

Περὶ πίστεως

LXXXIII · FAITH

Faith is twofold. One comes from hearing the Scriptures and is perfected by doing all Christ commanded; whoever does not believe by the tradition of the catholic Church, or shares in the devil's works, is an unbeliever. The other is the substance of things hoped for, an undoubting hope of God's promises; the first is of our judgment, the second a gift of the Spirit. Through baptism we are circumcised of sin and are called spiritual Israelites.

Ἡ μέντοι πίστις διπλῆ ἐστιν· Ἔστι γὰρ πίστις ἐξ
the however faith twofold is there-is for faith from
ἀκοῆς. Ἀκούοντες γὰρ τῶν θείων Γραφῶν, πιστεύομεν
hearing hearing for the divine Scriptures we-believe
τῇ διδασκαλίᾳ τοῦ ἁγίου Πνεύματος. Αὕτη δὲ τελειοῦται
the teaching of-the holy Spirit this and is-perfected
πᾶσι τοῖς νομοθετηθεῖσιν ὑπὸ τοῦ Χριστοῦ, ἔργῳ
by-all the(-things) legislated by — Christ in-deed
πιστεύουσα, εὐσεβοῦσα, καὶ τὰς ἐντολὰς πράττουσα
believing being-pious and the commandments doing
τοῦ ἀνακαινίσαντος ἡμᾶς. Ὁ γὰρ μὴ κατὰ τὴν
of-the(-one) having-renewed us the(-one) for not according-to the
παράδοσιν τῆς καθολικῆς Ἐκκλησίας πιστεύων, ἢ κοινωνῶν
tradition of-the catholic Church believing or sharing
διὰ τῶν ἀτόπων ἔργων τῷ διαβόλῳ, ἄπιστός ἐστιν.
through the absurd works with-the devil unbelieving is
Ἔστι δὲ πάλιν πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων
is and again faith of-things-hoped-for (the)-substance of-things
ἔλεγχος οὐ βλεπομένων, ἢ ἀδίστακτος καὶ ἀδιάκριτος ἐλπὶς
(the)-proof not seen or (an)-undoubting and unwavering hope
τῶν τε ὑπὸ Θεοῦ ἡμῖν ἐπηγγελμένων, καὶ τῆς τῶν αἰτήσεων
of-the both by God to-us promised(-things) and of-the of-the requests
ἡμῶν ἐπιτυχίας. Ἡ μὲν οὖν πρώτη, τῆς ἡμετέρας γνώμης
our attainment the indeed then first of-the our judgment
ἐστί, ἡ δὲ δευτέρα, τῶν χαρισμάτων τοῦ Πνεύματος.
is the but second of-the gifts of-the Spirit
Ἰστέον δὲ ὅτι διὰ τοῦ βαπτίσματος περιτεμνόμεθα
(one)-must-know and that through the baptism we-are-circumcised
ἅπαν τὸ ἀπὸ γενέσεως κάλυμμα, ἤτοι τὴν ἁμαρτίαν, καὶ
(of)-all the from birth covering that-is the sin and
Ἰσραηλῖται πνευματικοί, καὶ Θεοῦ λαὸς χρηματίζομεν.
Israelites spiritual and God's people we-are-called

Περὶ σταυροῦ, ἐν ᾧ ἔτι καὶ περὶ πίστεως

LXXXIV · THE CROSS, AND FURTHER ON FAITH

The word of the cross is folly to those who search out divine things by natural reasoning, and power to those who receive it by faith, without which nothing is done. The cross is the most wonderful of Christ's works: through it death was abolished, hades despoiled, and paradise opened, and its four arms show the power that holds creation together. Signed on the forehead, it is our shield against the devil. We venerate its wood, the nails, the holy places, and its figure in any material, but not the material once the figure is gone. The tree of life, Moses' rod, and the serpent on the wood prefigured it.

Ὁ λόγος ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις μωρία
the word the of-the cross to-the indeed perishing foolishness
ἐστί, τοῖς δὲ σωζομένοις ἡμῖν, δύναμις Θεοῦ ἐστιν. Ὁ
is to-the but being-saved us (the)-power of-God is the
μὲν γὰρ πνευματικὸς πάντα ἀνακρίνει, ψυχικὸς δὲ
indeed for spiritual(-man) all(-things) examines (the)-natural but
ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος. Μωρία γάρ
man not receives the(-things) of-the Spirit foolishness for
ἐστι τοῖς μὴ πίστει δεχομένοις, καὶ τὸ ἀγαθὸν καὶ
it-is to-the(-ones) not by-faith receiving and the good and
παντοδύναμον τοῦ Θεοῦ λογιζομένοις, ἀλλ' ἀνθρωπίνοις καὶ
all-powerful — of-God considering but by-human and
φυσικοῖς λογισμοῖς ἐξερευνῶσι τὰ θεῖα· πάντα γὰρ
natural reasonings searching-out the divine(-things) all for
τὰ τοῦ Θεοῦ ὑπὲρ φύσιν εἰσί, καὶ λόγον, καὶ ἔννοιαν.
the(-things) — of-God above nature are and reason and thought
Εἰ γάρ τις λογίσηται ὅπως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι,
if for anyone should-consider how from the not being into the to-be
τίνος τε ἕνεκεν παρήγαγεν ὁ Θεὸς τὰ πάντα, καὶ φυσικοῖς
for-what and reason brought — God the all(-things) and by-natural

λογισμοῖς φθάσαι ἐβουλήθη, οὐ καταλαμβάνει. Ψυχικὴ γάρ
reasonings to-attain wished not he-grasps(-it) natural for
ἐστιν ἡ γνῶσις αὕτη καὶ δαιμονιώδης. Εἰ δέ τις πίστει
is the knowledge this and demonic if but anyone by-faith
χειραγωγούμενος, ἀγαθόν, καὶ παντοδύναμον, καὶ ἀληθές,
being-led-by-the-hand good and all-powerful and true
καὶ σοφόν, καὶ δίκαιον τὸ Θεῖον λογίσηται, εὑρήσει πάντα
and wise and just the Divine should-consider he-will-find all(-things)
λεῖα καὶ ὁμαλά, καὶ ὁδὸν εὐθεῖαν. Ἐκτὸς γὰρ πίστεως
smooth and level and (the)-way straight apart-from for faith
ἀδύνατον σωθῆναι· πίστει γὰρ πάντα, τά τε ἀνθρώπινα,
(it-is)-impossible to-be-saved by-faith for all(-things) the both human
τά τε πνευματικὰ συνίστανται. Οὔτε γὰρ γεωργὸς ἐκτὸς
the both spiritual hold-together neither for (a)-farmer apart-from
πίστεως τέμνει γῆς αὔλακα· οὐκ ἔμπορος μικρῷ ξύλῳ
faith cuts of-earth (a)-furrow not (a)-merchant on-small wood
τὴν ἑαυτοῦ ψυχὴν τῷ μαινομένῳ τῆς θαλάσσης πελάγει
the his-own soul to-the raging of-the sea open-sea
παραδίδωσιν· οὐ γάμοι συνίστανται, οὐκ ἄλλο τι
hands-over not marriages are-formed not other anything
τῶν ἐν τῷ βίῳ. Πίστει νοοῦμεν ἐκ τοῦ μὴ ὄντος
of-the(-things) in the life by-faith we-understand from the not being
εἰς τὸ εἶναι τὰ πάντα τῇ τοῦ Θεοῦ δυνάμει παρῆχθαι·
into the to-be the all(-things) by-the — of-God power to-have-been-brought
πάντα τά τε θεῖα καὶ τὰ ἀνθρώπινα πίστει κατορθοῦμεν.
all(-things) the both divine and the human by-faith we-accomplish
Πίστις δέ ἐστιν ἀπολυπραγμόνητος συγκατάθεσις.
faith and is (an)-unmeddling assent
Πᾶσα μὲν οὖν πρᾶξις καὶ θαυματουργία τοῦ Χριστοῦ
every indeed then action and wonder-working — of-Christ
μεγίστη, καὶ θεία, καὶ θαυμαστή· ἀλλὰ πάντων ἐστὶ
(is)-very-great and divine and wonderful but than-all is

θαυμαστότερον ὁ τίμιος αὐτοῦ σταυρός. Δι᾽ οὐδενὸς
more-wonderful the precious his cross through nothing
γὰρ ἑτέρου ὁ θάνατος κατήργηται, ἡ τοῦ προπάτορος
for other the death has-been-abolished the of-the forefather
ἁμαρτία λέλυται, ὁ ᾅδης ἐσκύλευται, ἡ ἀνάστασις
sin has-been-loosed the hades has-been-despoiled the resurrection
δεδώρηται, δύναμις ἡμῖν τοῦ καταφρονεῖν τῶν παρόντων
has-been-granted (the)-power to-us of-the to-despise the present(-things)
καὶ αὐτοῦ τοῦ θανάτου δέδοται, ἡ πρὸς τὴν ἀρχαίαν
and itself the death has-been-given the to the ancient
μακαριότητα ἐπάνοδος κατώρθωται, πύλαι παραδείσου
blessedness return has-been-achieved (the)-gates of-paradise
ἠνοίχθησαν, ἡ φύσις ἡμῶν ἐκ δεξιῶν τοῦ Θεοῦ κεκάθικε,
were-opened the nature our at (the)-right — of-God has-sat
τέκνα Θεοῦ καὶ κληρονόμοι γεγόναμεν, εἰ μὴ διὰ τοῦ
children of-God and heirs we-have-become if not through the
σταυροῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὰ σταυροῦ
cross of-the Lord our Jesus Christ through (the)-cross
γὰρ πάντα κατώρθωται· Ὅσοι γὰρ ἐβαπτίσθημεν εἰς
for all(-things) have-been-achieved as-many-as for we-were-baptized into
Χριστόν, φησὶν ὁ Ἀπόστολος, εἰς τὸν θάνατον αὐτοῦ
Christ says the Apostle into the death his
ἐβαπτίσθημεν· ὅσοι δὲ εἰς Χριστὸν ἐβαπτίσθημεν,
we-were-baptized as-many-as and into Christ we-were-baptized
Χριστὸν ἐνεδυσάμεθα. Χριστὸς δέ ἐστι Θεοῦ δύναμις καὶ
Christ we-put-on Christ and is of-God (the)-power and
Θεοῦ σοφία. Ἰδοὺ ὁ θάνατος τοῦ Χριστοῦ, ἤτοι ὁ
of-God (the)-wisdom behold the death — of-Christ that-is the
σταυρός, τὴν ἐνυπόστατον τοῦ Θεοῦ σοφίαν καὶ δύναμιν
cross the subsistent — of-God wisdom and power
ἡμᾶς περιέβαλε. Δύναμις δὲ Θεοῦ ἐστιν ὁ Λόγος ὁ τοῦ
us has-clothed-with power and of-God is the Word the of-the

σταυροῦ, ἢ ὅτι τὸ δυνατὸν τοῦ Θεοῦ, ἤτοι ἡ κατὰ
cross either because the might — of-God that-is the over
τοῦ θανάτου νίκη, δι᾽ αὐτοῦ ἡμῖν πεφανέρωται, ἢ ὅτι,
the death victory through it to-us has-been-manifested or because
ὥσπερ τὰ τέσσαρα ἄκρα τοῦ σταυροῦ διὰ τοῦ μέσου
as the four extremities of-the cross through the middle
κέντρου κρατοῦνται καὶ συσφίγγονται, οὕτως διὰ τῆς τοῦ
center are-held and are-bound-together so through the —
Θεοῦ δυνάμεως, τό τε ὕψος καὶ τὸ βάθος, μῆκός τε καὶ
of-God power the both height and the depth length both and
πλάτος, ἤτοι πᾶσα ὁρατή τε καὶ ἀόρατος κτίσις συνέχεται.
breadth that-is all visible both and invisible creation is-held-together
Οὗτος ἡμῖν σημεῖον δέδοται ἐπὶ τοῦ μετώπου, ὃν
this to-us (as-a)-sign has-been-given on the forehead in-which
τρόπον τῷ Ἰσραὴλ ἡ περιτομή· δι᾽ αὐτοῦ γὰρ οἱ πιστοὶ
way — to-Israel the circumcision through it for the faithful
τῶν ἀπίστων ἀποδιστάμεθα καὶ γνωριζόμεθα. Οὗτος
from-the unfaithful we-are-distinguished and we-are-known this
θυρεὸς καὶ ὅπλον καὶ τρόπαιον κατὰ τοῦ διαβόλου. Οὗτος
(is-the)-shield and weapon and trophy against the devil this
σφραγίς, ἵνα μὴ θίγῃ ἡμῶν ὁ ὀλοθρεύων, ὡς ἡ Γραφή
(is-the)-seal that not may-touch us the destroyer as the Scripture
φησιν. Οὗτος τῶν κειμένων ἀνάστασις, τῶν ἑστώτων
says this of-the fallen (the)-raising of-the standing
στήριγμα, ἀσθενῶν βακτηρία, ποιμαινομένων ῥάβδος,
(the)-support of-weak (the)-staff of-shepherded (the)-rod
ἐπιστρεφόντων χειραγωγία, προκοπτόντων τελείωσις,
of-returning (the)-guidance of-advancing (the)-perfection
ψυχῆς σωτηρία καὶ σώματος, πάντων τῶν κακῶν
of-soul (the)-salvation and of-body of-all the evils

ἀποτρόπαιον, πάντων τῶν ἀγαθῶν πρόξενος, ἁμαρτίας
(the)-averter of-all the goods (the)-procurer of-sin
ἀναίρεσις, φυτὸν ἀναστάσεως, ξύλον ζωῆς αἰωνίου.
(the)-destruction (the)-plant of-resurrection (the)-tree of-life eternal
Αὐτὸ μὲν οὖν τὸ τίμιον ξύλον ὡς ἀληθῶς καὶ σεβάσμιον,
the-very indeed then the precious wood as truly also venerable
ἐν ᾧ ἑαυτὸν εἰς θυσίαν ὑπὲρ ἡμῶν ὁ Χριστὸς
on which himself as sacrifice for us — Christ
προσενήνοχεν, ὡς ἁγιασθὲν τῇ ἁφῇ τοῦ ἁγίου σώματός
offered as sanctified by-the touch of-the holy body
τε καὶ αἵματος προσκυνητέον, τοὺς ἥλους, τὴν λόγχην,
both and blood (is)-to-be-venerated the nails the lance
τὰ ἐνδύματα, καὶ τὰ ἱερὰ αὐτοῦ σκηνώματα· ἅτινά εἰσιν
the garments and the sacred his dwellings which are
ἡ φάτνη, τὸ σπήλαιον, ὁ Γολγοθᾶς, ὁ σωτήριος, ὁ
the manger the cave the Golgotha the saving the
ζωοποιὸς τάφος, ἡ Σιὼν τῶν Ἐκκλησιῶν ἀκρόπολις, καὶ
life-giving tomb the Zion of-the Churches (the)-citadel and
τὰ ὅμοια· ὥς φησιν ὁ θεοπάτωρ Δαβίδ· Εἰσελευσόμεθα εἰς
the like as says the God's-ancestor David we-shall-go into
τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον οὗ
the dwellings his we-shall-venerate at the place where
ἔστησαν οἱ πόδες αὐτοῦ. Ὅτι δὲ σταυρὸν λέγει, δηλοῖ τὸ
stood the feet his that and (the)-cross he-means shows the
ἑπόμενον· Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Ἕπεται
following arise O-Lord into the rest your follows
γὰρ τῷ σταυρῷ ἡ ἀνάστασις. Εἰ γὰρ τῶν ἐρωμένων
for the cross the resurrection if for of-the beloved
ποθητόν, οἶκος, καὶ κλίνη, καὶ περιβόλαιον, πόσῳ μᾶλλον
desirable (are)-house and bed and garment how-much rather
τὰ Θεοῦ καὶ Σωτῆρος, δι' ὧν καὶ σεσώσμεθα;
the(-things) of-God and Savior through which also we-have-been-saved

Προσκυνοῦμεν δὲ καὶ τὸν τύπον τοῦ τιμίου καὶ ζωοποιοῦ
we-venerate and also the figure of-the precious and life-giving
σταυροῦ, εἰ καὶ ἐξ ἑτέρας ὕλης γεγένηται, οὐ τὴν ὕλην
cross if even from other material it-has-been-made not the material
τιμῶντες (μὴ γένοιτο), ἀλλὰ τὸν τύπον, ὡς Χριστοῦ
honoring not may-it-be but the figure as of-Christ
σύμβολον. Ἔφη γὰρ τοῖς ἑαυτοῦ μαθηταῖς διατιθέμενος·
(a)-symbol he-said for to-the his-own disciples making-a-covenant
Τότε φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ
then will-appear the sign of-the Son of-the man in the
οὐρανῷ, τὸν σταυρὸν λέγων. Διὸ καὶ ταῖς γυναιξὶν ἔλεγεν
heaven the cross meaning therefore also to-the women said
ὁ τῆς ἀναστάσεως ἄγγελος· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνόν,
the of-the resurrection angel Jesus you-seek the Nazarene
τὸν ἐσταυρωμένον. Καὶ ὁ Ἀπόστολος· Ἡμεῖς δὲ κηρύσσομεν
the crucified and the Apostle we but preach
Χριστὸν ἐσταυρωμένον. Πολλοὶ μὲν Χριστοὶ καὶ Ἰησοῦ,
Christ crucified many indeed Christs and Jesuses
ἀλλ' εἷς ὁ ἐσταυρωμένος. Οὐκ εἶπε, λελογχευμένον, ἀλλ'
but one the crucified not he-said pierced-with-a-lance but
ἐσταυρωμένον. Προσκυνητέον τοίνυν τὸ σημεῖον τοῦ Χριστοῦ.
crucified (one)-must-venerate therefore the sign — of-Christ
Ἔνθα γὰρ ἂν ᾖ τὸ σημεῖον, ἐκεῖ καὶ αὐτὸς ἔσται. Τὴν
where for — may-be the sign there also he will-be the
δὲ ὕλην ἐξ ἧς ὁ τύπος τοῦ σταυροῦ συνίσταται, εἰ
but material from which the figure of-the cross is-made if
καὶ χρυσὸς ἢ λίθοι εἶεν τίμιοι, μετὰ τὴν τοῦ τύπου, εἰ
even gold or stones should-be precious after the of-the figure if
τύχοι, διάλυσιν, οὐ προσκυνητέον. Πάντα τοίνυν τὰ
it-should-happen dissolution not (is)-to-be-venerated all(-things) therefore the(-things)
Θεῷ ἀνακείμενα προσκυνοῦμεν, αὐτῷ τὸ σέβας προσάγοντες.
to-God dedicated we-venerate to-him the reverence offering

Τοῦτον τὸν τίμιον σταυρὸν προετύπωσε τὸ ξύλον τῆς
this the precious cross prefigured the tree of-the
ζωῆς, τὸ ἐν τῷ παραδείσῳ ὑπὸ Θεοῦ πεφυτευμένον.
life the(-one) in the paradise by God planted
Ἐπειδὴ γὰρ διὰ ξύλου ὁ θάνατος, ἔδει διὰ ξύλου
since for through (a)-tree (came)-the death ought through (a)-tree
δωρηθῆναι τὴν ζωὴν καὶ τὴν ἀνάστασιν. Ἰακὼβ πρῶτος
to-be-granted the life and the resurrection Jacob first
προσκυνήσας τὸ ἄκρον τῆς ῥάβδου Ἰωσήφ, τὸν σταυρὸν
venerating the tip of-the staff of-Joseph the cross
εἰκόνισε, καὶ ἐνηλλαγμέναις ταῖς χερσὶ τοὺς υἱοὺς αὐτοῦ
imaged and with-crossed the hands the sons his
εὐλογήσας, τὸ σημεῖον τοῦ σταυροῦ διέγραψε σαφέστατα.
blessing the sign of-the cross traced most-clearly
Ῥάβδος Μωσαϊκή, σταυροτύπως τὴν θάλασσαν πλήξασα,
(the)-rod Mosaic in-the-figure-of-the-cross the sea having-struck
καὶ σώσασα μὲν τὸν Ἰσραήλ, Φαραὼ δὲ βυθίσασα· χεῖρες
and having-saved indeed — Israel Pharaoh but having-drowned hands
σταυροειδῶς ἐκτεινόμεναι, καὶ τὸν Ἀμαλὴκ τροπούμεναι·
crosswise being-stretched-out and — Amalek routing
ξύλῳ τὸ πικρὸν ὕδωρ γλυκαινόμενον, καὶ πέτρα ῥηγνυμένη
by-wood the bitter water being-sweetened and (the)-rock being-split
καὶ προχέουσα νάματα· ῥάβδος τῷ Ἀαρὼν τὸ τῆς ἱεραρχίας
and pouring-forth streams (the)-rod — for-Aaron the of-the high-priesthood
ἀξίωμα χρηματίζουσα· ὄφις ἐπὶ ξύλου θριαμβευόμενος,
dignity conferring (the)-serpent on wood being-triumphed-over
ὡς νενέκρωται, τοῦ ξύλου τοὺς νεκρὸν ὁρῶντας τὸν
as it-has-been-killed the wood the(-ones) dead seeing the
ἐχθρὸν διασώζοντος τοὺς πιστεύοντας, ὡς Χριστὸς
enemy saving the(-ones) believing as Christ
ἐν σαρκὶ ἁμαρτίας ἁμαρτίαν οὐκ εἰδυίᾳ προσήλωται.
in flesh of-sin sin not knowing is-nailed

Μωϋσῆς ὁ μέγας, Ὄψεσθε, βοῶν, τὴν ζωὴν ὑμῶν ἐπὶ
Moses the great you-shall-see crying the life your on
ξύλου κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν, Ἡσαΐας·
wood hanging before the eyes your Isaiah
Ὅλην τὴν ἡμέραν διεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν
all the day I-stretched-out the hands my to (a)-people
ἀπειθοῦντα καὶ ἀντιλέγοντα. Οἱ τοῦτο προσκυνοῦντες,
disobeying and contradicting the(-ones) this venerating
τῆς μερίδος τύχοιμεν Χριστοῦ τοῦ ἐσταυρωμένου. Ἀμήν.
of-the portion may-we-obtain of-Christ the crucified amen

Περὶ τοῦ προσκυνεῖν πρὸς ἀνατολάς

LXXXV · VENERATING TOWARD THE EAST

We venerate toward the east because, being of two natures, we offer a twofold veneration, of mind and body. God is light, Christ the sun of righteousness and "the East"; paradise was planted in the east, and we, exiled to the west, look toward our ancient fatherland. The tabernacle and Solomon's temple faced east, Christ looked west from the cross and was taken up eastward, and he will come again like lightning from the east. This is an unwritten tradition of the apostles.

Οὐχ ἁπλῶς, οὐδ' ὡς ἔτυχε, κατὰ ἀνατολὰς προσκυνοῦμεν.
not simply nor as it-happened toward (the)-east we-venerate
Ἀλλ' ἐπειδὴ ἐξ ὁρατῆς τε καὶ ἀοράτου, ἤτοι νοητῆς καὶ
but since from visible both and invisible that-is intelligible and
αἰσθητῆς συντεθείμεθα φύσεως, διπλῆν καὶ τὴν προσκύνησιν
sensible we-are-composed nature (a)-twofold also the veneration
τῷ Δημιουργῷ προσάγομεν· ὥσπερ καὶ τῷ νῷ ψάλλομεν
to-the Creator we-offer as also with-the mind we-sing
καὶ τοῖς σωματικοῖς χείλεσι, καὶ βαπτιζόμεθα ὕδατί
and with-the bodily lips and we-are-baptized with-water

τε καὶ Πνεύματι, καὶ διπλῶς τῷ Κυρίῳ ἑνούμεθα, τῶν
both and Spirit and doubly to-the Lord we-are-united of-the
μυστηρίων μετέχοντες, καὶ τῆς τοῦ Πνεύματος χάριτος.
mysteries partaking and of-the of-the Spirit grace
Ἐπεὶ τοίνυν ὁ Θεὸς φῶς ἐστι νοητόν, καὶ ἥλιος
since then — God light is intelligible and (the)-sun
δικαιοσύνης, καὶ Ἀνατολὴ ἐν ταῖς Γραφαῖς ὠνόμασται ὁ
of-righteousness and (the)-East in the Scriptures has-been-named —
Χριστός, ἀναθετέον αὐτῷ τὴν ἀνατολὴν εἰς προσκύνησιν.
Christ (one)-must-dedicate to-him the east for veneration
Πᾶν γὰρ καλὸν τῷ Θεῷ ἀναθετέον, ἐξ οὗ πᾶν
every for good(-thing) — to-God (is)-to-be-dedicated from whom every
ἀγαθὸν ἀγαθύνεται. Φησὶ δὲ καὶ ὁ θεῖος Δαβίδ· Αἱ
good(-thing) is-made-good says and also the divine David the
βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ,
kingdoms of-the earth sing — to-God praise to-the Lord
τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ
the(-one) having-mounted upon the heaven of-the heaven toward
ἀνατολάς. Ἔτι δὲ καί φησιν ἡ Γραφή· Ἐφύτευσεν ὁ Θεὸς
(the)-east further and also says the Scripture planted — God
παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς· ἔνθα τὸν ἄνθρωπον,
(a)-paradise in Eden toward (the)-east where the man
ὃν ἔπλασεν, ἔθετο· ὃν παραβάντα ἐξώρισεν, ἀπέναντί
whom he-had-formed he-placed whom having-transgressed he-banished opposite
τε τοῦ παραδείσου τῆς τρυφῆς κατῴκισεν, ἐκ δυσμῶν
and of-the paradise of-the delight he-settled-(him) from (the)-west
δηλαδή. Τὴν οὖν ἀρχαίαν πατρίδα ἐπιζητοῦντες, καὶ πρὸς
evidently the then ancient fatherland seeking and toward
αὐτὴν ἀτενίζοντες, τῷ Θεῷ προσκυνοῦμεν. Καὶ ἡ σκηνὴ
it gazing — to-God we-venerate and the tabernacle
δὲ ἡ Μωσαϊκὴ κατὰ ἀνατολὰς εἶχε τὸ καταπέτασμα,
too the Mosaic toward (the)-east had the veil

καὶ ἱλαστήριον. Καὶ ἡ φυλὴ τοῦ Ἰούδα, ὡς τιμιωτέρα,
and mercy-seat and the tribe — of-Judah as more-honored
ἐξ ἀνατολῶν παρενέβαλε. Καὶ ἐν τῷ περιωνύμῳ
from (the)-east encamped and in the renowned
δὲ τοῦ Σολομῶντος ναῷ ἡ τοῦ Κυρίου πύλη κατὰ
too — of-Solomon temple the of-the Lord gate toward
ἀνατολὰς διέκειτο. Ἀλλὰ μὴν καὶ ὁ Κύριος σταυρούμενος
(the)-east lay but indeed also the Lord being-crucified
ἐπὶ δυσμὰς ἑώρα, καὶ οὕτω προσκυνοῦμεν, πρὸς
toward (the)-west looked and so we-venerate toward
αὐτὸν ἀτενίζοντες. Καὶ ἀναλαμβανόμενος, πρὸς ἀνατολὰς
him gazing and being-taken-up toward (the)-east
ἀνεφέρετο, καὶ οὕτως αὐτῷ οἱ ἀπόστολοι προσεκύνησαν,
he-was-borne-up and so him the apostles venerated
καὶ οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσαντο αὐτὸν
and so he-will-come in-which manner they-beheld him
πορευόμενον εἰς τὸν οὐρανόν· ὡς αὐτὸς ὁ Κύριος ἔφησεν·
going into the heaven as himself the Lord said
Ὥσπερ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται
as the lightning goes-out from (the)-east and appears
ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ
as-far-as (the)-west so will-be also the coming of-the Son
τοῦ ἀνθρώπου. Αὐτὸν οὖν ἐκδεχόμενοι, ἐπὶ ἀνατολὰς
of-the man him then awaiting toward (the)-east
προσκυνοῦμεν. Ἄγραφος δέ ἐστιν ἡ παράδοσις αὕτη τῶν
we-venerate unwritten and is the tradition this of-the
ἀποστόλων. Πολλὰ γὰρ ἀγράφως ἡμῖν παρέδωκαν.
apostles many(-things) for unwrittenly to-us they-banded-down

Περὶ τῶν ἁγίων καὶ ἀχράντων τοῦ Κυρίου μυστηρίων

LXXXVI · THE HOLY AND IMMACULATE MYSTERIES OF THE LORD

When man fell, the good God became like us to make us partakers of his divinity, and we need a second birth and a new food: water and Spirit in baptism, and the bread of life himself, given on the night he was betrayed with "This is my body" and "This is my blood." The word that made heaven and earth makes bread his body; the Spirit comes upon the gifts, and the manner is beyond us. They are not a figure but his deified body and blood, life to the worthy and judgment to the unworthy. We approach with fear, and take no communion with heretics.

Ἀγαθός, καὶ πανάγαθος, καὶ ὑπεράγαθος Θεός, ὁ ὅλος ὢν
good and all-good and super-good God the whole being
ἀγαθότης, διὰ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς αὐτοῦ
goodness because-of the surpassing wealth of-the his
ἀγαθότητος, οὐκ ἠνέσχετο μόνον εἶναι τὸ ἀγαθόν, ἤτοι τὴν
goodness not he-endured alone to-be the good that-is the
ἑαυτοῦ φύσιν, ὑπὸ μηδενὸς μετεχόμενον, ἀλλὰ καὶ τούτου
his-own nature by nothing partaken but also for-this
χάριν ἐποίησε, πρῶτον μὲν τὰς νοερὰς καὶ οὐρανίους
sake he-made first indeed the intellectual and heavenly
δυνάμεις· εἶτα τὸν ὁρατὸν καὶ αἰσθητὸν κόσμον· εἶτα ἐκ
powers then the visible and sensible world then from
νοεροῦ καὶ αἰσθητοῦ τὸν ἄνθρωπον· πάντα μὲν οὖν τὰ
intellectual and sensible the man all indeed then the(-things)
ὑπ᾽ αὐτοῦ γενόμενα κοινωνοῦσι τῆς αὐτοῦ ἀγαθότητος
by him having-come-to-be share of-the his goodness
κατὰ τὸ εἶναι. Αὐτὸς γάρ ἐστι τοῖς πᾶσι τὸ εἶναι, ἐπειδὴ
according-to the to-be he for is to-the all the to-be since
ἐν αὐτῷ εἰσι τὰ ὄντα, οὐ μόνον ὅτι αὐτὸς ἐκ τοῦ μὴ ὄντος
in him are the beings not only because he from the not being
εἰς τὸ εἶναι αὐτὰ παρήγαγεν, ἀλλ᾽ ὅτι ἡ αὐτοῦ ἐνέργεια
into the to-be them brought but because the his activity

τὰ ὑπ᾽ αὐτοῦ γενόμενα συντηρεῖ καὶ συνέχει· ἐκ
the(-things) by him having-come-to-be preserves and holds-together in
περισσοῦ δὲ τὰ ζῶα· κατά τε γὰρ τὸ εἶναι, καὶ κατὰ
addition and the animals according-to both for the to-be and according-to
τὸ ζωῆς μετέχειν, κοινωνοῦσι τοῦ ἀγαθοῦ. Τὰ δὲ λογικά,
the of-life to-partake share of-the good the but rational(-beings)
καὶ κατὰ τὰ προειρημένα μέν, οὐ μὴν ἀλλὰ κατὰ
both according-to the aforesaid indeed not however but according-to
τὸ λογικόν, καὶ ταῦτα μᾶλλον· οἰκειότερα γάρ πώς εἰσι
the rational also these more more-akin for somehow are
πρὸς αὐτόν, εἰ καὶ πάντως οὗτος ὑπέρκειται ἀσυγκρίτως.
to him if even certainly he transcends incomparably
Ὁ μέντοι ἄνθρωπος, λογικὸς καὶ αὐτεξούσιος γενόμενος,
the however man rational and self-determining having-become
ἐξουσίαν εἴληφεν ἀδιαλείπτως διὰ τῆς οἰκείας προαιρέσεως
power has-received unceasingly through the own choice
ἑνοῦσθαι τῷ Θεῷ, εἴ γε διαμένῃ ἐν τῷ ἀγαθῷ, τουτέστι
to-be-united — with-God if indeed he-remains in the good that-is
τῇ τοῦ Κτίσαντος ὑπακοῇ. Ἐπειδὴ τοίνυν ἐν παραβάσει
in-the of-the Creator obedience since then in transgression
τῆς τοῦ πεποιηκότος αὐτὸν ἐντολῆς γέγονε, καὶ θανάτῳ
of-the of-the having-made him commandment he-became and to-death
καὶ φθορᾷ ὑποπέπτωκεν, ὁ Ποιητὴς καὶ Δημιουργὸς τοῦ
and corruption has-fallen-subject the Maker and Creator of-the
γένους ἡμῶν διὰ σπλάγχνα ἐλέους αὐτοῦ ὡμοιώθη
race our because-of (the)-bowels of-mercy his was-made-like
ἡμῖν, κατὰ πάντα γενόμενος ἄνθρωπος χωρὶς ἁμαρτίας,
to-us in all(-things) having-become man without sin
καὶ ἡνώθη τῇ ἡμετέρᾳ φύσει. Ἐπειδὴ γὰρ μετέδωκεν
and was-united to-the our nature since for he-imparted
ἡμῖν τῆς ἰδίας εἰκόνος, καὶ τοῦ ἰδίου πνεύματος, καὶ οὐκ
to-us of-the own image and of-the own spirit and not

ἐφυλάξαμεν, μεταλαμβάνει αὐτὸς τῆς πτωχῆς καὶ ἀσθενοῦς
we-kept(-it) he-partakes he of-the poor and weak
ἡμῶν φύσεως, ἵνα ἡμᾶς καθάρῃ, καὶ ἀφθαρτίσῃ, καὶ
our nature that us he-might-cleanse and make-incorruptible and
μετόχους πάλιν τῆς αὐτοῦ καταστήσῃ θεότητος.
partakers again of-the his might-make divinity
Ἔδει δὲ μὴ μόνον τὴν ἀπαρχὴν τῆς ἡμετέρας φύσεως
ought and not only the first-fruits of-the our nature
ἐν μετοχῇ γενέσθαι τοῦ κρείττονος, ἀλλὰ καὶ πάντα τὸν
in participation to-come-to-be of-the better but also every the
βουλόμενον ἄνθρωπον, καὶ δευτέραν γέννησιν γεννηθῆναι, καὶ
willing man also (a)-second birth to-be-born and
τραφῆναι τροφὴν ξένην, καὶ τῇ γεννήσει πρόσφορον, καὶ
to-be-fed (with)-food strange and to-the birth suited and
οὕτω φθάσαι τὸ μέτρον τῆς τελειότητος. Διὰ μὲν οὖν τῆς
so to-attain the measure of-the perfection through indeed then the
αὐτοῦ γεννήσεως ἤτοι σαρκώσεως, καὶ τοῦ βαπτίσματος,
his birth that-is incarnation and of-the baptism
καὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως, ἠλευθέρωσε τὴν
and of-the passion and of-the resurrection he-freed the
φύσιν τῆς ἁμαρτίας τοῦ προπάτορος, τοῦ θανάτου καὶ
nature from-the sin of-the forefather from-the death and
τῆς φθορᾶς, καὶ τῆς ἀναστάσεως ἀπαρχὴ γέγονε, καὶ
from-the corruption and of-the resurrection first-fruits he-became and
ὁδὸν καὶ τύπον ἑαυτὸν καὶ ὑπογραμμὸν τέθεικεν, ἵνα καὶ
(the)-way and pattern himself and model he-has-set that also
ἡμεῖς τοῖς αὐτοῦ ἀκολουθήσαντες ἴχνεσι, γενώμεθα θέσει,
we the his having-followed footsteps may-become by-adoption
ὅπερ αὐτός ἐστι φύσει, υἱοὶ καὶ κληρονόμοι Θεοῦ, καὶ αὐτοῦ
what he is by-nature sons and heirs of-God and his
συγκληρονόμοι· ἔδωκεν οὖν ἡμῖν, ὡς ἔφην, γέννησιν δευτέραν,
joint-heirs he-gave then to-us as I-said birth second

ἵν᾽ ὥσπερ γεννηθέντες ἐκ τοῦ Ἀδάμ, ὡμοιώθημεν αὐτῷ,
that as having-been-born from — Adam we-were-made-like to-him
κληρονομήσαντες τὴν κατάραν καὶ τὴν φθοράν, οὕτω καὶ ἐξ
having-inherited the curse and the corruption so also from
αὐτοῦ γεννηθέντες, ὁμοιωθῶμεν αὐτῷ, καὶ κληρονομήσωμεν
him having-been-born we-may-be-made-like to-him and may-inherit
τήν τε ἀφθαρσίαν, καὶ τὴν εὐλογίαν, καὶ τὴν δόξαν αὐτοῦ.
the both incorruption and the blessing and the glory his
Ἐπειδὴ δὲ πνευματικός ἐστιν οὗτος ὁ Ἀδάμ, ἔδει καὶ τὴν
since but spiritual is this — Adam ought also the
γέννησιν πνευματικὴν εἶναι, ὁμοίως καὶ τὴν βρῶσιν· ἀλλ᾽
birth spiritual to-be likewise also the food but
ἐπειδὴ διπλοῖ τινές ἐσμεν καὶ σύνθετοι, δεῖ καὶ τὴν
since twofold some(-how) we-are and compound must also the
γέννησιν διπλῆν εἶναι, ὁμοίως καὶ τὴν βρῶσιν σύνθετον.
birth twofold be likewise also the food compound
Ἡ μὲν οὖν γέννησις ἡμῖν δι᾽ ὕδατος καὶ Πνεύματος
the indeed then birth to-us through water and Spirit
δέδοται· φημὶ δὲ τοῦ ἁγίου βαπτίσματος· ἡ δὲ βρῶσις
has-been-given I-mean and of-the holy baptism the but food
αὐτὸς ὁ ἄρτος τῆς ζωῆς, ὁ Κύριος ἡμῶν Ἰησοῦς
(is)-himself the bread of-the life the Lord our Jesus
Χριστός, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Μέλλων
Christ the(-one) from the heaven having-come-down being-about
γὰρ τὸν ἑκούσιον ὑπὲρ ἡμῶν καταδέχεσθαι θάνατον, ἐν
for the voluntary for us to-accept death in
τῇ νυκτί, ἐν ᾗ ἑαυτὸν παρεδίδου, διαθήκην καινὴν
the night in which himself he-was-handing-over (a)-covenant new
διέθετο τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, καὶ
he-made with-the holy his disciples and apostles and
δι᾽ αὐτῶν πᾶσι τοῖς εἰς αὐτὸν πιστεύουσιν. Ἐν τῷ
through them with-all the(-ones) in him believing in the

ὑπερῷῳ τοίνυν τῆς ἁγίας καὶ ἐνδόξου Σιών, τὸ παλαιὸν
upper-room then of-the holy and glorious Zion the old
Πάσχα μετὰ τῶν μαθητῶν αὐτοῦ φαγών, καὶ πληρώσας
Passover with the disciples his having-eaten and having-fulfilled
τὴν παλαιὰν διαθήκην, νίπτει τῶν μαθητῶν τοὺς πόδας,
the old covenant he-washes of-the disciples the feet
σύμβολον τοῦ ἁγίου βαπτίσματος παρεχόμενος. Εἶτα
(a)-symbol of-the holy baptism providing then
κλάσας ἄρτον, ἐπεδίδου αὐτοῖς λέγων· Λάβετε, φάγετε,
having-broken bread he-gave to-them saying take eat
τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς
this my is the body the(-one) for you being-broken for
ἄφεσιν ἁμαρτιῶν. Ὁμοίως δὲ λαβών, καὶ τὸ ποτήριον
remission of-sins likewise and having-taken also the cup
ἐξ οἴνου καὶ ὕδατος, μετέδωκεν αὐτοῖς λέγων· Πίετε
of wine and water he-imparted(-it) to-them saying drink
ἐξ αὐτοῦ πάντες· τοῦτό μού ἐστι τὸ αἷμα, τὸ τῆς
of it all this my is the blood the(-one) of-the
καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον, εἰς ἄφεσιν
new covenant the(-one) for you being-poured-out for remission
ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις
of-sins this do for the my remembrance as-often-as
γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο
for — you-eat the bread this and the cup this
πίνητε, τὸν θάνατον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καταγγέλλετε,
you-drink the death of-the Son of-the man you-proclaim
καὶ τὴν ἀνάστασιν αὐτοῦ ὁμολογεῖτε, ἕως ἂν ἔλθῃ.
and the resurrection his you-confess until — he-come
Εἰ τοίνυν ὁ λόγος τοῦ Θεοῦ ζῶν ἐστι, καὶ ἐνεργής, καὶ
if therefore the word — of-God living is and active and
πάντα ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν· εἰ εἶπε·
all(-things) as-many-as willed the Lord he-did if he-said

Γενηθήτω φῶς, καὶ ἐγένετο· Γενηθήτω στερέωμα, καὶ
let-there-be light and there-was let-there-be (a)-firmament and
ἐγένετο· εἰ τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ
there-was if by-the word of-(the)-Lord the heavens were-made-firm and
τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν·
by-the breath of-the mouth his all the power their
εἰ ὁ οὐρανός, καὶ ἡ γῆ, ὕδωρ τε καὶ πῦρ, καὶ ἀήρ, καὶ πᾶς
if the heaven and the earth water both and fire and air and all
ὁ κόσμος αὐτῶν τῷ λόγῳ τοῦ Κυρίου συνετελέσθησαν,
the order their by-the word of-the Lord were-completed
καὶ τοῦτο δὴ τὸ πολυθρύλλητον ζῶον ὁ ἄνθρωπος· εἰ
and this indeed the much-celebrated living-being the man if
θελήσας αὐτὸς ὁ Θεὸς Λόγος ἐγένετο ἄνθρωπος, καὶ τὰ
having-willed himself — God Word became man and the
τῆς ἁγίας Ἀειπαρθένου καθαρὰ καὶ ἀμώμητα αἵματα ἑαυτῷ
of-the holy Ever-Virgin pure and blameless bloods for-himself
ἀσπόρως σάρκα ὑπεστήσατο, οὐ δύναται τὸν ἄρτον ἑαυτοῦ
without-seed (as)-flesh made-subsist not can-he the bread his-own
σῶμα ποιῆσαι, καὶ τὸν οἶνον καὶ τὸ ὕδωρ, αἷμα; Εἶπεν ἐν
body to-make and the wine and the water blood he-said in
ἀρχῇ· Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, καὶ μέχρι
(the)-beginning let-bring-forth the earth (the)-herb of-grass and until
τοῦ νῦν τοῦ ὑετοῦ γενομένου, ἐξάγει τὰ ἴδια βλαστήματα,
the now the rain having-come it-brings-forth the own shoots
τῷ θείῳ συνελαυνομένη καὶ δυναμουμένη προστάγματι.
by-the divine being-driven and empowered command
Εἶπεν ὁ Θεός· Τοῦτό μού ἐστι τὸ σῶμα· καί· Τοῦτό μού
said — God this my is the body and this my
ἐστι τὸ αἷμα· καί· Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν·
is the blood and this do for the my remembrance
καὶ τῷ παντοδυνάμῳ αὐτοῦ προστάγματι, ἕως ἂν ἔλθῃ,
and by-the all-powerful his command until — he-come

γίνεται· οὕτω γὰρ εἶπεν, ἕως ἂν ἔλθῃ· καὶ γίνεται ὑετὸς
it-comes-about so for he-said until — he-come and comes (as)-rain
τῇ καινῇ ταύτῃ γεωργίᾳ διὰ τῆς ἐπικλήσεως, ἡ τοῦ
to-the new this husbandry through the invocation the of-the
ἁγίου Πνεύματος ἐπισκιάζουσα δύναμις. Ὥσπερ γὰρ πάντα
holy Spirit overshadowing power as for all(-things)
ὅσα ἐποίησεν ὁ Θεός, τῇ τοῦ ἁγίου Πνεύματος
as-many-as made — God by-the of-the holy Spirit
ἐνεργείᾳ ἐποίησεν, οὕτω καὶ νῦν ἡ τοῦ Πνεύματος ἐνέργεια
activity he-made so also now the of-the Spirit activity
τὰ ὑπὲρ φύσιν ἐργάζεται, ἃ οὐ δύναται χωρῆσαι, εἰ
the(-things) above nature works which not can contain if
μὴ μόνη ἡ πίστις. Πῶς ἔσται μοι τοῦτο, φησὶν ἡ ἁγία
not only the faith how will-be to-me this says the holy
Παρθένος, ἐπεὶ ἄνδρα οὐ γινώσκω; Ἀποκρίνεται Γαβριὴλ ὁ
Virgin since (a)-man not I-know answers Gabriel the
ἀρχάγγελος· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις
archangel (the)-Spirit holy will-come upon you and (the)-power
Ὑψίστου ἐπισκιάσει σοι. Καὶ νῦν ἐρωτᾷς, πῶς ὁ ἄρτος
of-(the)-Most-High will-overshadow you and now you-ask how the bread
γίνεται σῶμα Χριστοῦ, καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ, αἷμα
becomes (the)-body of-Christ and the wine and the water (the)-blood
Χριστοῦ. Λέγω σοι κἀγώ· Πνεῦμα ἅγιον ἐπιφοιτᾷ, καὶ
of-Christ I-say to-you I-too (the)-Spirit holy comes-upon(-them) and
ταῦτα ποιεῖ τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν.
these-things does the(-things) above reason and thought
Ἄρτος δὲ καὶ οἶνος παραλαμβάνεται· οἶδε γὰρ ὁ Θεὸς
bread and also wine are-taken knows for — God
τὴν ἀνθρωπίνην ἀσθένειαν· ὡς τὰ πολλὰ γὰρ τὰ
the human weakness as the many(-times) for the(-things)
μὴ κατὰ τὴν συνήθειαν τετριμμένα, ἀποστρέφεται
not according-to the custom worn it-turns-away-from

δυσχεραίνουσα· τῇ οὖν συγκαταβάσει συνήθει κεχρημένος,
being-vexed by-the then condescension customary using
διὰ τῶν συνήθων τῆς φύσεως ποιεῖ τὰ ὑπὲρ
through the customary(-things) of-the nature he-does the(-things) above
φύσιν· καὶ ὥσπερ ἐπὶ τοῦ βαπτίσματος, ἐπειδὴ
nature and as in-the-case-of the baptism since
ἔθος ἀνθρώποις ὕδατι λούεσθαι, καὶ ἐλαίῳ χρίεσθαι,
(it-is)-the-custom for-men with-water to-wash and with-oil to-be-anointed
συνέζευξε τῷ ἐλαίῳ καὶ ὕδατι τὴν χάριν τοῦ Πνεύματος,
he-yoked with-the oil and water the grace of-the Spirit
καὶ ἐποίησεν αὐτὸ λουτρὸν ἀναγεννήσεως· οὕτως, ἐπειδὴ
and made it (a)-washing of-regeneration so since
ἔθος τοῖς ἀνθρώποις ἄρτον ἐσθίειν, ὕδωρ τε καὶ οἶνον
(it-is)-the-custom for-the men bread to-eat water both and wine
πίνειν, συνέζευξεν αὐτοῖς τὴν αὐτοῦ θεότητα, καὶ πεποίηκεν
to-drink he-yoked to-them the his divinity and has-made
αὐτὰ σῶμα καὶ αἷμα αὐτοῦ, ἵνα διὰ τῶν συνήθων
them body and blood his that through the customary(-things)
καὶ κατὰ φύσιν, ἐν τοῖς ὑπὲρ φύσιν γενώμεθα.
and according-to nature in the(-things) above nature we-may-come-to-be
Σῶμά ἐστιν ἀληθῶς ἡνωμένον θεότητι, τὸ ἐκ τῆς
(the)-body is truly united to-divinity the(-one) from the
ἁγίας Παρθένου σῶμα, οὐχ ὅτι τὸ ἀναληφθὲν σῶμα ἐξ
holy Virgin body not that the assumed body from
οὐρανοῦ κατέρχεται, ἀλλ' ὅτι αὐτὸς ὁ ἄρτος καὶ οἶνος
heaven comes-down but that itself the bread and wine
μεταποιοῦνται εἰς σῶμα καὶ αἷμα Θεοῦ. Εἰ δὲ τὸν τρόπον
are-changed into body and blood of-God if but the manner
ἐπιζητεῖς, πῶς γίνεται, ἀρκεῖ σοι ἀκοῦσαι, ὅτι διὰ
you-seek how it-comes-about it-suffices for-you to-hear that through
Πνεύματος ἁγίου, ὥσπερ καὶ ἐκ τῆς ἁγίας Θεοτόκου διὰ
(the)-Spirit holy as also from the holy God-bearer through

Πνεύματος ἁγίου ἑαυτῷ, καὶ ἐν ἑαυτῷ ὁ Κύριος σάρκα
(the)-Spirit holy for-himself and in himself the Lord flesh
ὑπεστήσατο· καὶ πλέον οὐδὲν γινώσκομεν, ἀλλ᾽ ὅτι ὁ λόγος
made-subsist and more nothing we-know but that the word
τοῦ Θεοῦ ἀληθής ἐστι, καὶ ἐνεργής, καὶ παντοδύναμος, ὁ
— of-God true is and active and all-powerful the
δὲ τρόπος ἀνεξερεύνητος. Οὐ χεῖρον δὲ καὶ τοῦτο εἰπεῖν,
but manner (is)-unsearchable not worse and also this to-say
ὅτι, ὥσπερ φυσικῶς διὰ τῆς βρώσεως ὁ ἄρτος, καὶ
that as naturally through the eating the bread and
ὁ οἶνος καὶ τὸ ὕδωρ διὰ τῆς πόσεως εἰς σῶμα καὶ
the wine and the water through the drinking into body and
αἷμα τοῦ ἐσθίοντος καὶ πίνοντος μεταβάλλονται, καὶ
blood of-the(-one) eating and drinking are-changed and
οὐ γίνονται ἕτερον σῶμα παρὰ τὸ πρότερον αὐτοῦ σῶμα·
not become another body beside the former his body
οὕτως ὁ τῆς προθέσεως ἄρτος, οἶνός τε, καὶ ὕδωρ διὰ
so the of-the offering bread wine both and water through
τῆς ἐπικλήσεως καὶ ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος,
the invocation and coming-upon of-the holy Spirit
ὑπερφυῶς μεταποιοῦνται εἰς τὸ σῶμα τοῦ Χριστοῦ καὶ
supernaturally are-changed into the body — of-Christ and
τὸ αἷμα, καὶ οὐκ εἰσὶ δύο, ἀλλ᾽ ἓν καὶ τὸ αὐτό.
the blood and not are two but one and the same
Γίνεται τοίνυν τοῖς πίστει ἀξίως μεταλαμβάνουσιν,
it-becomes therefore to-the(-ones) by-faith worthily partaking
εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον, καὶ εἰς
for remission of-sins and for life eternal and for
φυλακτήριον ψυχῆς τε καὶ σώματος· τοῖς δὲ ἐν
safeguard of-soul both and body to-the(-ones) but in
ἀπιστίᾳ ἀναξίως μετέχουσιν, εἰς κόλασιν καὶ τιμωρίαν,
unbelief unworthily partaking for punishment and retribution

καθάπερ καὶ ὁ τοῦ Κυρίου θάνατος, τοῖς μὲν
as also the of-the Lord death to-the(-ones) indeed
πιστεύουσι γέγονε ζωὴ καὶ ἀφθαρσία εἰς ἀπόλαυσιν τῆς
believing has-become life and incorruption for enjoyment of-the
αἰωνίου μακαριότητος· τοῖς δὲ ἀπειθοῦσι, καὶ τοῖς
eternal blessedness to-the(-ones) but disobeying and to-the
κυριοκτόνοις, εἰς κόλασιν καὶ τιμωρίαν αἰώνιον.
Lord-slayers for punishment and retribution eternal
Οὐκ ἔστι τύπος ὁ ἄρτος καὶ ὁ οἶνος τοῦ σώματος καὶ
not is (a)-figure the bread and the wine of-the body and
αἵματος τοῦ Χριστοῦ (μὴ γένοιτο), ἀλλ᾽ αὐτὸ τὸ σῶμα τοῦ
blood — of-Christ not may-it-be but the-very the body of-the
Κυρίου τεθεωμένον, αὐτοῦ τοῦ Κυρίου εἰπόντος· Τοῦτό μού
Lord deified himself the Lord having-said this my
ἐστι, οὐ τύπος τοῦ σώματος, ἀλλὰ τὸ σῶμα· καὶ οὐ τύπος
is not (a)-figure of-the body but the body and not (a)-figure
τοῦ αἵματος, ἀλλὰ τὸ αἷμα. Καὶ πρὸ τούτου τοῖς Ἰουδαίοις,
of-the blood but the blood and before this to-the Jews
ὅτι Ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου,
that if not you-eat the flesh of-the Son of-the man
καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.
and drink his the blood not you-have life in yourselves
Ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις, καὶ τὸ αἷμά μου
the for flesh my true is food and the blood my
ἀληθής ἐστι πόσις. Καὶ πάλιν· Ὁ τρώγων με, ζήσεται.
true is drink and again the(-one) eating me will-live
Διὸ μετὰ παντὸς φόβου καὶ συνειδήσεως καθαρᾶς, καὶ
therefore with all fear and conscience pure and
ἀδιστάκτου πίστεως προσέλθωμεν, καὶ πάντως ἔσται ἡμῖν,
undoubting faith let-us-approach and certainly it-will-be to-us
καθὼς πιστεύομεν, μὴ διστάζοντες. Τιμήσωμεν δὲ αὐτὸ
as we-believe not doubting let-us-honor and it

πάσῃ καθαρότητι, ψυχικῇ τε καὶ σωματικῇ· διπλοῦν γάρ
with-all purity of-soul both and of-body twofold for
ἐστι. Προσέλθωμεν αὐτῷ πόθῳ διακαεῖ, καὶ σταυροειδῶς
it-is let-us-approach it with-desire burning and crosswise
τὰς παλάμας τυπώσαντες, τοῦ ἐσταυρωμένου τὸ σῶμα
the palms having-formed of-the crucified(-one) the body
ὑποδεξώμεθα· καὶ ἐπιθέντες ὀφθαλμούς, καὶ χείλη, καὶ
let-us-receive and having-placed eyes and lips and
μέτωπα, τοῦ θείου ἄνθρακος μεταλάβωμεν, ἵνα τὸ πῦρ τοῦ
foreheads of-the divine coal let-us-partake that the fire of-the
ἐν ἡμῖν πόθου προσλαβὸν τὴν ἐκ τοῦ ἄνθρακος πύρωσιν,
in us desire having-taken-on the from the coal heating
καταφλέξῃ ἡμῶν τὰς ἁμαρτίας, καὶ φωτίσῃ ἡμῶν τὰς
may-burn-up our the sins and may-illumine our the
καρδίας, καὶ τῇ μετουσίᾳ τοῦ θείου πυρὸς πυρωθῶμεν καὶ
hearts and by-the participation of-the divine fire we-may-be-set-afire and
θεωθῶμεν. Ἄνθρακα εἶδεν Ἡσαΐας· ἄνθραξ δὲ ξύλον λιτὸν
we-may-be-deified (a)-coal saw Isaiah (a)-coal but wood plain
οὐκ ἔστιν, ἀλλ᾽ ἡνωμένον πυρί· οὕτω καὶ ὁ ἄρτος τῆς
not is but united to-fire so also the bread of-the
κοινωνίας, οὐκ ἄρτος λιτός ἐστιν, ἀλλ᾽ ἡνωμένος θεότητι·
communion not bread plain is but united to-divinity
σῶμα δὲ ἡνωμένον θεότητι, οὐ μία φύσις ἐστίν, ἀλλὰ
(a)-body and united to-divinity not one nature is but
μία μὲν τοῦ σώματος, τῆς δὲ ἡνωμένης αὐτῷ θεότητος,
one indeed of-the body of-the but united to-it divinity
ἑτέρα· ὥστε τὸ συναμφότερον, οὐ μία φύσις, ἀλλὰ δύο.
another so-that the both-together not one nature but two
Ἄρτῳ καὶ οἴνῳ ἐδεξιοῦτο Μελχισέδεκ τὸν Ἀβραάμ, ἐκ
with-bread and wine received Melchizedek — Abraham from
τῆς τῶν ἀλλοφύλων κοπῆς ὑποστρέφοντα, ὁ ἱερεὺς τοῦ
the of-the foreigners slaughter returning the priest —

Θεοῦ τοῦ Ὑψίστου· ἐκείνη ἡ τράπεζα ταύτην τὴν μυστικὴν
of-God of-the Most-High that the table this the mystical
προεικόνιζε τράπεζαν, ὃν τρόπον ἐκεῖνος ὁ ἱερεύς,
prefigured table in-which way that the priest
τοῦ ἀληθινοῦ ἀρχιερέως Χριστοῦ τύπος ἦν καὶ εἰκόνισμα·
of-the true high-priest Christ (a)-figure was and image
Σὺ γάρ, φησίν, εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν
you for he-says are (a)-priest for — ever according-to the
τάξιν Μελχισέδεκ. Τοῦτον τὸν ἄρτον οἱ ἄρτοι εἰκόνιζον
order of-Melchizedek this the bread the loaves imaged
τῆς προθέσεως. Αὕτη ἐστὶν ἡ καθαρὰ θυσία, δηλαδὴ καὶ
of-the offering this is the pure sacrifice evidently and
ἀναίμακτος, ἣν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν
bloodless which from (the)-risings of-(the)-sun to (the)-settings
αὐτῷ προσφέρεσθαι διὰ τοῦ προφήτου ὁ Κύριος ἔφησε.
to-him to-be-offered through the prophet the Lord said
Σῶμά ἐστι καὶ αἷμα Χριστοῦ εἰς σύστασιν τῆς ἡμετέρας
body it-is and blood of-Christ for (the)-maintenance of-the our
ψυχῆς τε καὶ σώματος χωροῦν, οὐ δαπανώμενον, οὐ
soul both and body passing not consumed not
φθειρόμενον, οὐκ εἰς ἀφεδρῶνα χωροῦν (μὴ γένοιτο), ἀλλ᾽
corrupted not into (the)-privy passing not may-it-be but
εἰς τὴν ἡμῶν οὐσίαν καὶ συντήρησιν, βλάβης παντοδαποῦς
into the our substance and preservation of-harm of-every-kind
ἀμυντήριον, ῥύπου παντὸς καθαρτήριον· ἂν μὲν χρυσὸν
(a)-defense of-filth all (a)-cleansing if indeed gold
λάβῃ κίβδηλον, διὰ τῆς κριτικῆς πυρώσεως καθαίρει,
it-take counterfeit through the judging heating it-purifies
ἵνα μὴ ἐν τῷ μέλλοντι σὺν τῷ κόσμῳ κατακριθῶμεν.
that not in the coming(-age) with the world we-may-be-condemned
Καθαίρει γὰρ νόσοις καὶ παντοίαις ἐπιφοραῖς, καθώς
it-purifies for with-diseases and all-kinds-of visitations as

φησιν ὁ θεῖος Ἀπόστολος· Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ
says the divine Apostle if for ourselves we-judged not
ἂν ἐκρινόμεθα. Κρινόμενοι δέ, ὑπὸ Κυρίου παιδευόμεθα,
— we-would-be-judged being-judged but by (the)-Lord we-are-disciplined
ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Καὶ τοῦτό ἐστιν ὃ
that not with the world we-may-be-condemned and this is what
λέγει· Ὥστε ὁ μετέχων τοῦ σώματος καὶ τοῦ αἵματος
he-says so-that the(-one) partaking of-the body and the blood
τοῦ Κυρίου ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει. Δι᾽
of-the Lord unworthily judgment on-himself eats and drinks through
αὐτοῦ καθαιρόμενοι, ἑνούμεθα τῷ σώματι Κυρίου καὶ
it being-purified we-are-united to-the body of-(the)-Lord and
τῷ πνεύματι αὐτοῦ, καὶ γινόμεθα σῶμα Χριστοῦ.
to-the spirit his and we-become (the)-body of-Christ
Οὗτος ὁ ἄρτος ἐστὶν ἡ ἀπαρχὴ τοῦ μέλλοντος ἄρτου,
this the bread is the first-fruits of-the coming bread
ὅς ἐστιν ὁ ἐπιούσιος. Τὸ γὰρ ἐπιούσιον δηλοῖ, ἢ τὸν
which is the supersubstantial the for supersubstantial shows either the
μέλλοντα, τουτέστι τὸν τοῦ μέλλοντος αἰῶνος, ἢ τὸν
coming(-one) that-is the of-the coming age or the(-one)
πρὸς συντήρησιν τῆς οὐσίας ἡμῶν λαμβανόμενον. Εἴτε
for (the)-preservation of-the substance our taken whether
οὖν οὕτως, εἴτε οὕτως, τὸ τοῦ Κυρίου σῶμα προσφυῶς
then so or so the of-the Lord body fittingly
λεχθήσεται· πνεῦμα γὰρ ζωοποιοῦν ἐστιν ἡ σὰρξ τοῦ
will-be-called spirit for life-giving is the flesh of-the
Κυρίου, διότι ἐκ τοῦ ζωοποιοῦ Πνεύματος συνελήφθη·
Lord because from the life-giving Spirit it-was-conceived
τὸ γὰρ γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμά ἐστι.
the(-thing) for born of the Spirit spirit is

Τοῦτο δὲ λέγω, οὐκ ἀναιρῶν τὴν τοῦ σώματος φύσιν,
this and I-say not abolishing the of-the body nature
ἀλλὰ τὸ ζωοποιὸν καὶ θεῖον τούτου δηλῶσαι βουλόμενος.
but the life-giving and divine of-it to-show wishing
Εἰ δὲ καί τινες ἀντίτυπα τοῦ σώματος καὶ αἵματος τοῦ
if and even some antitypes of-the body and blood of-the
Κυρίου τὸν ἄρτον καὶ τὸν οἶνον ἐκάλεσαν, ὡς ὁ θεοφόρος
Lord the bread and the wine called as the God-bearing
ἔφη Βασίλειος, οὐ μετὰ τὸ ἁγιασθῆναι εἶπον, ἀλλὰ
said Basil not after the to-be-sanctified they-said(-it) but
πρὶν ἁγιασθῆναι, αὐτὴν τὴν προσφορὰν οὕτω καλέσαντες.
before to-be-sanctified the-very the offering so calling(-it)
Μετάληψις δὲ λέγεται· δι' αὐτῆς γάρ, τῆς Ἰησοῦ
participation and it-is-called through it for the of-Jesus
θεότητος μεταλαμβάνομεν. Κοινωνία δὲ λέγεταί τε καὶ
divinity we-partake communion and is-called both and
ἔστιν ἀληθῶς, διὰ τὸ κοινωνεῖν ἡμᾶς δι' αὐτῆς
is truly because-of the to-share us through it
τῷ Χριστῷ, καὶ μετέχειν αὐτοῦ τῆς σαρκός τε καὶ
— with-Christ and to-partake his of-the flesh both and
τῆς θεότητος· κοινωνεῖν δέ, καὶ ἑνοῦσθαι ἀλλήλοις
of-the divinity to-have-communion and also to-be-united with-one-another
δι' αὐτῆς· ἐπεὶ γὰρ ἐξ ἑνὸς ἄρτου μεταλαμβάνομεν,
through it since for from one bread we-partake
οἱ πάντες ἓν σῶμα Χριστοῦ, καὶ ἓν αἷμα, καὶ ἀλλήλων
the all one body of-Christ and one blood and of-one-another
μέλη γινόμεθα, σύσσωμοι Χριστοῦ χρηματίζοντες.
members we-become concorporeal with-Christ being-called
Πάσῃ δυνάμει τοίνυν φυλαξώμεθα, μὴ λαμβάνειν μετάληψιν
with-all power then let-us-guard not to-take communion
αἱρετικῶν, μήτε διδόναι. Μὴ δῶτε γὰρ τὰ ἅγια τοῖς
of-heretics nor to-give not give for the holy(-things) to-the

κυσίν, ὁ Κύριός φησι, μηδὲ ῥίπτετε τοὺς μαργαρίτας
dogs the Lord says nor throw the pearls
ὑμῶν ἔμπροσθεν τῶν χοίρων, ἵνα μὴ μέτοχοι τῆς
your before the swine that not partakers of-the
κακοδοξίας καὶ τῆς αὐτῶν γενώμεθα κατακρίσεως. Εἰ γὰρ
false-belief and of-the their we-become condemnation if for
πάντως ἕνωσίς ἐστι πρὸς Χριστόν, καὶ πρὸς ἀλλήλους,
certainly (a)-union it-is with Christ and with one-another
πάντως καὶ πᾶσι τοῖς συμμεταλαμβάνουσιν ἡμῖν κατὰ
certainly also with-all the(-ones) partaking-with us according-to
προαίρεσιν ἑνούμεθα. Ἐκ προαιρέσεως γὰρ ἡ ἕνωσις
choice we-are-united from choice for the union
αὕτη γίνεται, οὐ χωρὶς τῆς ἡμῶν γνώμης. Πάντες γὰρ
this comes-about not without the our inclination all for
ἓν σῶμά ἐσμεν, ὅτι ἐκ τοῦ ἑνὸς ἄρτου μεταλαμβάνομεν,
one body we-are since from the one bread we-partake
καθώς φησιν ὁ θεῖος Ἀπόστολος.
as says the divine Apostle
Ἀντίτυπα δὲ τῶν μελλόντων λέγονται, οὐχ ὡς μὴ ὄντα
antitypes and of-the things-to-come they-are-called not as not being
ἀληθῶς σῶμα καὶ αἷμα Χριστοῦ, ἀλλ᾽ ὅτι νῦν μὲν
truly (the)-body and blood of-Christ but because now indeed
δι᾽ αὐτῶν μετέχομεν τῆς Χριστοῦ θεότητος, τότε δὲ
through them we-partake the of-Christ divinity then but
νοητῶς διὰ μόνης τῆς θέας.
intelligibly through only the vision

Περὶ τῆς γενεαλογίας τοῦ Κυρίου, καὶ περὶ τῆς ἁγίας Θεοτόκου

LXXXVII · THE LORD'S GENEALOGY, AND THE HOLY GOD-BEARER

Mary sprang from David's root. Matthew traces Joseph through Solomon and Luke through Nathan, silent about her, since the Hebrews traced no women's descent and married within the tribe; by the levirate law Joseph was Jacob's son by nature and Heli's by law, and Mary Joachim's daughter. Born to the barren Anna, she grew up in the temple and was betrothed to Joseph. She conceived by the Spirit, bore without pain, and remained a virgin forever; the pains she escaped at his birth she suffered at the cross.

Περὶ τῆς ἁγίας καὶ ὑπερυμνήτου Ἀειπαρθένου καὶ Θεοτόκου
about the holy and highly-hymned Ever-Virgin and God-bearer
Μαρίας ἐν τοῖς προλαβοῦσι μετρίως διαλαβόντες,
Mary in the preceding(-chapters) moderately having-treated
καὶ τὸ καιριώτατον παραστήσαντες, ὡς κυρίως καὶ
and the most-vital having-set-forth that properly and
ἀληθῶς Θεοτόκος ἔστι τε καὶ ὀνομάζεται, νῦν τὰ
truly God-bearer she-is both and is-named now the(-things)
λείποντα προσαναπληρώσωμεν. Αὕτη γὰρ τῇ προαιωνίῳ
remaining let-us-fill-up she for by-the pre-eternal
προγνωστικῇ βουλῇ τοῦ Θεοῦ προορισθεῖσα, καὶ διαφόροις
foreknowing counsel — of-God predestined and by-various
εἰκόσι, καὶ λόγοις προφητῶν διὰ Πνεύματος ἁγίου
images and words of-prophets through (the)-Spirit holy
εἰκονισθεῖσά τε καὶ προκηρυχθεῖσα, ἐν τῷ προωρισμένῳ
imaged both and proclaimed-beforehand at the predetermined
καιρῷ ἐκ Δαυϊτικῆς ῥίζης ἐβλάστησε, διὰ τὰς πρὸς αὐτὸν
time from (the)-Davidic root sprang because-of the to him
γενομένας ἐπαγγελίας. Ὤμοσε γὰρ Κύριος, φησί, τῷ Δαβὶδ
made promises swore for (the)-Lord he-says — to-David

ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτόν· ἐκ καρποῦ τῆς κοιλίας
truth and not — he-will-annul it from (the)-fruit of-the belly
σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Καὶ πάλιν· Ἅπαξ ὤμοσα
your I-will-set upon the throne your and again once I-swore
ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι· Τὸ σπέρμα αὐτοῦ εἰς
by the holiness my if — to-David I-will-lie the seed his for
τὸν αἰῶνα μενεῖ· καὶ ὁ θρόνος αὐτοῦ, ὡς ἥλιος ἐναντίον
— ever will-remain and the throne his as (the)-sun before
μου, καὶ ὡς σελήνη κατηρτισμένη, εἰς τὸν αἰῶνα, καὶ ὁ
me and as (the)-moon established for — ever and the
μάρτυς ἐν τῷ οὐρανῷ πιστός. Καὶ Ἡσαΐας· Ἐξανατελεῖ
witness in the heaven (is)-faithful and Isaiah shall-come-forth
ῥάβδος ἐξ Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται.
(a)-rod from Jesse and (a)-flower from the root shall-come-up
Ὅτι μὲν οὖν ὁ Ἰωσὴφ ἐκ Δαυϊτικῆς φυλῆς κατάγεται,
that indeed then — Joseph from (the)-Davidic tribe descends
Ματθαῖος καὶ Λουκᾶς, οἱ ἱερώτατοι εὐαγγελισταὶ διαῤῥήδην
Matthew and Luke the most-sacred evangelists expressly
ὑπέδειξαν· ἀλλ᾽ ὁ μὲν Ματθαῖος ἐκ Δαβὶδ διὰ τοῦ
showed but — indeed Matthew from David through —
Σολομῶντος κατάγει τὸν Ἰωσήφ, ὁ δὲ Λουκᾶς, διὰ
Solomon traces — Joseph — but Luke through
Νάθαν. Τῆς δὲ ἁγίας Παρθένου τὴν γέννησιν ἀμφότεροι
Nathan of-the but holy Virgin the birth both
παρεσιώπησαν.
passed-over-in-silence

Χρὴ οὖν εἰδέναι, ὡς οὐκ ἦν ἔθος Ἑβραίοις, οὐδὲ
(one)-must then know that not it-was (the)-custom for-Hebrews nor
τῇ θείᾳ Γραφῇ, γενεαλογεῖσθαι γυναῖκας· νόμος δὲ ἦν
in-the divine Scripture to-trace-genealogies-of women law and it-was
μὴ μνηστεύεσθαι φυλὴν ἐξ ἑτέρας φυλῆς· ὁ δὲ Ἰωσὴφ
not to-betroth tribe from another tribe — and Joseph

ἐκ Δαυϊτικοῦ καταγόμενος φύλου, καὶ δίκαιος ὑπάρχων
from (the)-Davidic descended tribe and just being
(τοῦτο γὰρ αὐτῷ μαρτυρεῖ τὸ θεῖον Εὐαγγέλιον), οὐκ ἂν
this for to-him attests the divine Gospel not —
παρανόμως τὴν ἁγίαν Παρθένον εἰς μνηστείαν ἠγάγετο,
unlawfully the holy Virgin in betrothal would-have-taken
εἰ μὴ ἐκ τοῦ αὐτοῦ σκήπτρου κατήγετο. Δείξας τοίνυν
if not from the same scepter she-descended having-shown therefore
τὸ τοῦ Ἰωσὴφ καταγώγιον, ἠρκέσθη.
the — of-Joseph descent he-was-content
Χρὴ δὲ καὶ τοῦτο εἰδέναι ὡς νόμος ἦν, ἀγόνου
(one)-must and also this know that (a)-law there-was (when)-a-childless
ἀνδρὸς τελευτῶντος, τὸν τούτου ἀδελφόν, τὴν τοῦ
man died the his brother the of-the(-one)
τετελευτηκότος γαμετὴν πρὸς γάμον ἄγεσθαι, καὶ ἐγείρειν
deceased wife in marriage to-take and to-raise-up
σπέρμα τῷ ἀδελφῷ. Τὸ οὖν τικτόμενον, κατὰ φύσιν
seed to-the brother the then (child)-born according-to nature
μέν, τοῦ δευτέρου, ἤτοι τοῦ γεγεννηκότος ἦν, κατὰ
indeed of-the second that-is of-the(-one) having-begotten was according-to
δὲ νόμον, τοῦ τετελευτηκότος.
but law of-the(-one) deceased
Ἐκ τῆς σειρᾶς τοίνυν τοῦ Νάθαν τοῦ υἱοῦ Δαβίδ, γεννηθεὶς
from the line then — of-Nathan the son of-David born
Λευϊ ἐγέννησε τὸν Μελχὶ καὶ τὸν Πάνθηρα· ὁ Πάνθηρ
Levi begot — Melchi and — Panther — Panther
ἐγέννησε τὸν Βαρπάνθηρα, οὕτως ἐπικληθέντα. Οὗτος ὁ
begot — Barpanther so called this —
Βαρπάνθηρ ἐγέννησε τὸν Ἰωακείμ· ὁ Ἰωακὶμ ἐγέννησε τὴν
Barpanther begot — Joachim — Joachim begot the
ἁγίαν Θεοτόκον. Ἐκ δὲ τῆς σειρᾶς Σολομῶντος τοῦ υἱοῦ
holy God-bearer from and the line of-Solomon the son

Δαβίδ, Ματθὰν ἔσχε γυναῖκα, ἐξ ἧς ἐγέννησε τὸν Ἰακώβ.
of-David Matthan had (a)-wife from whom he-begot — Jacob
Τελευτήσαντος δὲ τοῦ Ματθάν, Μελχὶ ὁ ἐκ τῆς φυλῆς
having-died and — Matthan Melchi the(-one) from the tribe
τοῦ Νάθαν, ὁ υἱὸς μὲν Λευΐ, ἀδελφὸς δὲ τοῦ Πάνθηρος,
— of-Nathan the son indeed of-Levi brother and — of-Panther
ἔγημε τὴν γυναῖκα τοῦ Ματθάν, μητέρα δὲ τοῦ Ἰακώβ,
married the wife — of-Matthan mother and — of-Jacob
καὶ ἐξ αὐτῆς ἐγέννησε τὸν Ἡλεί. Ἐγένοντο οὖν ἀδελφοὶ
and from her begot — Heli became then brothers
ὁμομήτριοι Ἰακὼβ καὶ Ἡλεί· ὁ μὲν Ἰακώβ, ἐκ φυλῆς
of-the-same-mother Jacob and Heli — indeed Jacob from (the)-tribe
Σολομῶντος, ὁ δὲ Ἡλεί, ἐκ φυλῆς Νάθαν. Ἐτελεύτησε
of-Solomon — but Heli from (the)-tribe of-Nathan died
δὲ ὁ Ἡλεί, ὁ ἐκ τῆς τοῦ Νάθαν φυλῆς, ἄπαις· καὶ
and — Heli the(-one) from the — of-Nathan tribe childless and
ἔλαβεν Ἰακὼβ ὁ ἀδελφὸς αὐτοῦ, ὁ ἐκ τῆς φυλῆς τοῦ
took Jacob the brother his the(-one) from the tribe —
Σολομῶντος, τὴν γυναῖκα αὐτοῦ, καὶ ἀνέστησε σπέρμα τῷ
of-Solomon the wife his and raised-up seed to-the
ἀδελφῷ αὐτοῦ, καὶ ἐγέννησε τὸν Ἰωσήφ. Ὁ οὖν Ἰωσήφ,
brother his and begot — Joseph — then Joseph
φύσει μέν ἐστιν υἱὸς Ἰακώβ, ἐκ τοῦ καταγωγίου
by-nature indeed is (the)-son of-Jacob from the descent
Σολομῶντος, κατὰ δὲ νόμον, Ἡλεὶ τοῦ ἐκ Νάθαν.
of-Solomon according-to but law of-Heli the(-one) from Nathan
Ἰωακεὶμ τοίνυν τὴν σεμνήν τε καὶ ἀξιέπαινον Ἄνναν πρὸς
Joachim then the august both and praiseworthy Anna in
γάμον ἠγάγετο. Ἀλλ' ὥσπερ ἡ πάλαι Ἄννα στειρεύουσα,
marriage took but as the long-ago Anna being-barren
δι' εὐχῆς καὶ ἐπαγγελίας τὸν Σαμουὴλ ἐγέννησεν,
through prayer and promise — Samuel bore

οὕτω καὶ αὕτη διὰ λιτῆς καὶ ἐπαγγελίας πρὸς Θεοῦ
so also she through supplication and promise from God
τὴν Θεοτόκον κομίζεται, ἵνα κἂν τούτῳ μηδενὸς τῶν
the God-bearer receives that even in-this in-nothing of-the
περιφανῶν καθυστερίζοιτο· τίκτει τοιγαροῦν ἡ χάρις
illustrious(-women) she-might-fall-behind bears therefore the grace
(τοῦτο γὰρ ἡ Ἄννα ἑρμηνεύεται) τὴν Κυρίαν· τοῦτο γὰρ
this for — Anna is-interpreted the Lady this for
τῆς Μαρίας σημαίνει τὸ ὄνομα· Κυρία γὰρ ὄντως γέγονε
— of-Mary signifies the name Lady for truly she-has-become
πάντων τῶν ποιημάτων, τοῦ Δημιουργοῦ χρηματίσασα
of-all the works of-the Creator having-been-styled
Μήτηρ. Τίκτεται δὲ ἐν τῷ τῆς προβατικῆς τοῦ Ἰωακεὶμ
Mother she-is-born and in the of-the sheep-gate — of-Joachim
οἴκῳ, καὶ τῷ ἱερῷ προσάγεται. Εἶτα ἐν τῷ οἴκῳ Θεοῦ
house and to-the temple is-brought then in the house of-God
φυτευθεῖσά τε καὶ πιανθεῖσα τῷ Πνεύματι, ὡσεὶ ἐλαία
planted both and enriched by-the Spirit like (an)-olive
κατάκαρπος, πάσης ἀρετῆς καταγώγιον γέγονε, πάσης
fruitful of-all virtue (a)-dwelling she-became from-all
βιωτικῆς καὶ σαρκικῆς ἐπιθυμίας τὸν νοῦν ἀποστήσασα,
worldly and fleshly desire the mind having-withdrawn
καὶ οὕτω παρθένον τὴν ψυχὴν συντηρήσασα σὺν τῷ
and so virgin the soul having-kept with the
σώματι, ὡς ἔπρεπε, τὴν Θεὸν ἐγκόλπιον ὑποδέχεσθαι
body as befitted the(-one) God in-the-bosom to-receive
μέλλουσαν· ἅγιος γὰρ ὤν, ἐν ἁγίοις ἀναπαύεται·
being-about-to holy for being in (the)-holy(-ones) he-rests
οὕτω τοίνυν ἁγιωσύνην μετέρχεται, καὶ ναὸς ἅγιος καὶ
so then holiness she-pursues and (a)-temple holy and
θαυμαστὸς τοῦ ὑψίστου Θεοῦ ἀναδείκνυται ἄξιος.
wonderful of-the most-high God is-shown-to-be worthy

Ἐπειδὴ δὲ ἐπετήρει τὰς παρθένους ὁ τῆς ἡμῶν
since and watched the virgins the(-one) of-the our
σωτηρίας ἐχθρός, διὰ τὴν Ἡσαΐου προῤῥήσιν· Ἰδοὺ ἡ
salvation enemy because-of the of-Isaiah prophecy behold the
παρθένος ἐν γαστρὶ ἕξει, φήσαντος, καὶ τέξεται υἱόν,
virgin in womb will-have having-said and will-bear (a)-son
καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστι
and they-will-call the name his Emmanuel which is
μεθερμηνευόμενον, Μεθ' ἡμῶν ὁ Θεός· ὡς ἂν δελεάσῃ
being-translated with us — God so-that — he-might-ensnare
τὸν ἐν σοφίᾳ ἀεὶ ἁβρυνόμενον, ὁ δρασσόμενος τοὺς
the(-one) in wisdom always priding-himself the(-one) catching the
σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, πρὸς μνηστείαν ἡ νεᾶνις
wise in the craftiness their in betrothal the maiden
τῷ Ἰωσὴφ ὑπὸ τῶν ἱερέων ἐκδίδοται ὁ καινὸς τόμος,
— to-Joseph by the priests is-given-out the new volume
τῷ γράμματα εἰδότι· ἡ δὲ μνηστεία, φυλακή τε τῆς
to-the(-one) letters knowing the and betrothal (a)-guard both of-the
Παρθένου ὑπῆρχε, καὶ τοῦ τὰς παρθένους ἐπιτηροῦντος
Virgin was and of-the(-one) the virgins watching
ἀποβουκόλημα. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου,
(a)-diversion when and came the fullness of-the time
ἀπεστάλη ἄγγελος Κυρίου πρὸς αὐτήν, τὴν τοῦ Κυρίου
was-sent (an)-angel of-(the)-Lord to her the of-the Lord
εὐαγγελιζόμενος σύλληψιν· οὕτως τε συνείληφε τὸν Υἱὸν
announcing conception so and she-conceived the Son
τοῦ Θεοῦ, τὴν τοῦ Πατρὸς ἐνυπόστατον δύναμιν, οὐκ
— of-God the of-the Father subsistent power not
ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἤτοι
from (the)-will of-flesh nor from (the)-will of-man that-is
συναφείας καὶ σπορᾶς, ἀλλ' ἐκ τῆς τοῦ Πατρὸς εὐδοκίας
of-union and sowing but from the of-the Father good-pleasure

καὶ συνεργίας τοῦ ἁγίου Πνεύματος· ἐχορήγησε τῷ Κτίστῃ
and co-working of-the holy Spirit she-supplied to-the Creator
τὸ κτισθῆναι, καὶ τῷ πλάστῃ τὸ πλασθῆναι, καὶ τῷ
the to-be-created and to-the fashioner the to-be-fashioned and to-the
Υἱῷ τοῦ Θεοῦ καὶ Θεῷ τὸ σαρκωθῆναι καὶ ἀνθρωπισθῆναι
Son — of-God and God the to-be-incarnate and to-become-man
ἐκ τῶν ἁγνῶν καὶ ἀμολύντων αὐτῆς σαρκῶν τε καὶ
from the pure and undefiled her fleshes both and
αἱμάτων, τὸ τῆς προμήτορος ἀποπληροῦσα χρέος· ὥσπερ
bloods the of-the first-mother fulfilling debt as
γὰρ ἐκείνη συναφείας ἐκτὸς ἐξ Ἀδὰμ πεπλαστούργηται,
for that union without from Adam was-fashioned
οὕτω καὶ αὕτη τὸν νέον Ἀδὰμ ἀπεκύησε, νόμῳ κυήσεως
so also she the new Adam brought-forth by-(the)-law of-gestation
τικτόμενον, καὶ ὑπὲρ φύσιν γεννήσεως. Τίκτεται γὰρ
being-born and above nature of-birth is-born for
ἀπάτωρ ἐκ γυναικός, ὁ ἐκ Πατρὸς ἀμήτωρ· καὶ ὅτι
fatherless from (a)-woman the(-one) from (the)-Father motherless and because
μὲν ἐκ γυναικός, νόμῳ κυήσεως, ὅτι δὲ ἄνευ πατρός,
indeed from (a)-woman by-(the)-law of-gestation because but without father
ὑπὲρ φύσιν γεννήσεως· καὶ ὅτι μὲν τῷ εἰθισμένῳ
above nature of-birth and because indeed in-the customary
χρόνῳ (τὸν γὰρ ἐννεαμηνιαῖον τελέσας, καὶ τῷ δεκάτῳ
time the for nine-month(-term) having-completed and on-the tenth
ἐπιβὰς γεννᾶται), νόμῳ κυήσεως· ὅτι δὲ ἀνωδίνως,
having-entered he-is-born by-(the)-law of-gestation because but painlessly
ὑπὲρ θεσμὸν γεννήσεως· ἧς γὰρ ἡδονὴ οὐ προηγήσατο,
above (the)-ordinance of-birth whom for pleasure not preceded
οὐδὲ ὠδὶν ἐπηκολούθησε, κατὰ τὸν προφήτην τὸν
nor pain followed according-to the prophet the(-one)

λέγοντα· Πρὶν ὠδίνησεν, ἔτεκε. Καὶ πάλιν· Πρὶν ἐλθεῖν
saying before she-travailed she-bore and again before to-come
τὸν καιρὸν τῶν ὠδίνων ἐξέφυγε, καὶ ἔτεκεν ἄρσεν.
the time of-the pains she-escaped and bore (a)-male
Γεγέννηται τοίνυν ἐξ αὐτῆς ὁ Υἱὸς τοῦ Θεοῦ σεσαρκωμένος,
has-been-born then from her the Son — of-God incarnate
οὐ θεοφόρος ἄνθρωπος, ἀλλὰ Θεὸς σεσαρκωμένος· οὐχ
not (a)-God-bearing man but God incarnate not
ὡς προφήτης ἐνεργείᾳ χριόμενος, παρουσίᾳ δὲ ὅλου
as (a)-prophet by-activity anointed by-presence but of-(the)-whole
τοῦ χρίοντος· ὥστε ἄνθρωπον μὲν γενέσθαι τὸ
of-the(-one) anointing so-that man indeed became the(-one)
χρίσαν, καὶ Θεὸν τὸ χριόμενον· οὐ μεταβολῇ φύσεως,
having-anointed and God the(-one) anointed not by-change of-nature
ἀλλ' ἑνώσει τῇ καθ' ὑπόστασιν. Ὁ αὐτὸς γὰρ ἦν, ὅ
but by-union the according-to hypostasis the same for was the(-one)
τε χρίων καὶ ὁ χριόμενος· χρίων ὡς Θεὸς ἑαυτὸν ὡς
both anointing and the(-one) anointed anointing as God himself as
ἄνθρωπον. Πῶς οὖν οὐ Θεοτόκος, ἡ Θεὸν σεσαρκωμένον
man how then not God-bearer the(-one) God incarnate
ἐξ αὐτῆς γεννήσασα; Ὄντως κυρίως καὶ ἀληθῶς Θεοτόκος,
from her having-borne truly properly and truly God-bearer
καὶ Κυρία, καὶ πάντων κτισμάτων δεσπόζουσα, δούλη
and Lady and of-all creatures ruling handmaid
καὶ μήτηρ τοῦ Δημιουργοῦ χρηματίσασα. Ὥσπερ δὲ
and mother of-the Creator having-been-styled as and
συλληφθεὶς παρθένον τὴν συλλαβοῦσαν ἐτήρησεν, οὕτω
conceived virgin the(-one) having-conceived he-kept so
καὶ τεχθείς, τὴν αὐτῆς παρθενίαν ἐφύλαξεν ἄτρωτον,
also born the her virginity he-guarded unharmed
μόνος διελθὼν δι' αὐτῆς, καὶ κεκλεισμένην τηρήσας
alone having-passed through her and shut having-kept

αὐτήν· δι᾽ ἀκοῆς μὲν ἡ σύλληψις, ἡ δὲ γέννησις διὰ
her through hearing indeed the conception the but birth through
τῆς συνήθους τῶν τικτομένων ἐξόδου, εἰ καί τινες
the usual of-the(-ones) being-born exit if even some
μυθολογοῦσι διὰ τῆς πλευρᾶς αὐτὸν τεχθῆναι τῆς
fable through the side him to-have-been-born of-the
Θεομήτορος. Οὐ γὰρ ἀδύνατος ἦν καὶ διὰ τῆς πύλης
Mother-of-God not for unable he-was also through the gate
διελθεῖν, καὶ ταύτης μὴ παραβλάψαι σήμαντρα.
to-pass and of-this not to-damage (the)-seals
Μένει τοίνυν καὶ μετὰ τόκον παρθένος ἡ ἀειπάρθενος,
remains then also after childbirth virgin the ever-virgin
οὐδαμῶς ἀνδρὶ μέχρι θανάτου προσομιλήσασα. Εἰ γὰρ
in-no-way with-(a)-man until death having-had-intercourse if for
καὶ γέγραπται· Καὶ οὐκ ἔγνω αὐτήν, ἕως οὗ ἔτεκε τὸν υἱὸν
even it-is-written and not he-knew her until — she-bore the son
αὐτῆς τὸν πρωτότοκον, ἰστέον ὅτι πρωτότοκός ἐστιν
her the first-born (one)-must-know that first-born is
ὁ πρῶτος γεννηθείς, εἰ καὶ μονογενὴς εἴη. Τὸ μὲν γὰρ
the(-one) first born if even only-begotten he-be the indeed for
πρωτότοκος, πρῶτον γεννηθῆναι δηλοῖ, οὐ πάντως δὲ καὶ
first-born first to-be-born shows not necessarily but also
ἑτέρων συνεμφαίνει γέννησιν. Τὸ δέ, ἕως, τὴν μὲν τοῦ
of-others implies birth the(-word) but until the indeed of-the
ὡρισμένου χρόνου προθεσμίαν σημαίνει, οὐκ ἀποφάσκει δὲ τὸ
appointed time limit signifies not denies but the
μετὰ ταῦτα· φησὶ γὰρ ὁ Κύριος· Καὶ ἰδοὺ ἐγὼ μεθ᾽ ὑμῶν
after these(-things) says for the Lord and behold I with you
εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος·
am all the days until the consummation of-the age
οὐχ ὡς μετὰ τὴν τοῦ αἰῶνος συντέλειαν χωρισθησόμενος.
not as after the of-the age consummation to-be-separated

he-needed except in-a-manner-befitting-man he-assumed-the-form toward what
ἡ χρεία, καὶ τὸ λυσιτελὲς ἀπῄτει· οἷον τὴν προσευχήν,
the need and the advantage demanded such-as the prayer
διὰ τὸ δεῖξαι, ὡς οὐκ ἔστιν ἀντίθεος, ὡς καὶ αἰτίαν
because-of the to-show that not he-is (a)-rival-to-God as also (the)-cause
ἑαυτοῦ τιμῶν τὸν Πατέρα· τὸ ἐρωτᾷν, οὐκ ἀγνοῶν,
of-himself honoring the Father the to-ask not being-ignorant

ἀλλ᾽ ἵνα δείξῃ, ὡς κατὰ ἀλήθειάν ἐστιν ἄνθρωπος,
but that he-might-show that according-to truth he-is man
μετὰ τοῦ εἶναι Θεός· τὸ ὑπαναχωρεῖν, ἵνα διδάξῃ μὴ
with the to-be God the to-withdraw that he-might-teach not
προπετεύεσθαι μηδ᾽ ἑαυτοὺς προδιδόναι.
to-be-rash nor themselves to-betray
Τὰ δὲ κατ᾽ οἰκείωσιν καὶ ἀναφοράν, ὡς τό·
the(-things) but by appropriation and reference as the(-word)
Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; καὶ τό·
God my God my — why me have-you-forsaken and the(-word)
Τὸν μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν
the(-one) not having-known sin on-behalf-of us sin
ἐποίησε· καὶ τό· Γενόμενος ὑπὲρ ἡμῶν κατάρα· καὶ
he-made and the(-word) having-become on-behalf-of us (a)-curse and
τό· Αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι
the(-word) himself the Son will-be-subjected to-the(-one) having-subjected
αὐτῷ τὰ πάντα. Οὔτε γὰρ ὡς Θεός, οὔτε ὡς ἄνθρωπος,
to-him the all(-things) neither for as God nor as man
ἐγκατελείφθη ποτὲ ὑπὸ τοῦ Πατρός· οὔτε ἁμαρτία, οὔτε
was-be-forsaken ever by the Father nor sin nor
κατάρα γέγονεν, οὔτε ὑποταγῆναι χρῄζει τῷ Πατρί.
curse be-has-become nor to-be-subjected needs to-the Father
Καθὸ μὲν γὰρ Θεός, ἴσος ἐστὶ τῷ Πατρί, καὶ οὐδὲ
inasmuch-as indeed for God equal he-is to-the Father and neither
ἐναντίος, οὐδὲ ὑποτεταγμένος· καθὸ δὲ ἄνθρωπος,
opposed nor subjected inasmuch-as but man
οὐδέποτε ἀνήκοος γέγονε τοῦ γεννήτορος, ἵνα ὑποταγῆς
never disobedient has-be-become of-the begetter that subjection
δεηθῇ. Τὸ ἡμέτερον τοίνυν οἰκειούμενος πρόσωπον, καὶ
he-should-need the our then appropriating person and
μεθ᾽ ἡμῶν τάσσων ἑαυτόν, ταῦτα ἔλεγεν. Ἡμεῖς γὰρ
with us ranking himself these(-things) he-said we for

ἦμεν οἱ ἁμαρτίας καὶ κατάρας ἔνοχοι, ὡς ἀπειθεῖς
were the(-ones) of-sin and of-curse liable as disobedient
καὶ παρήκοοι, καὶ διὰ τοῦτο ἐγκαταλελειμμένοι.
and heedless and because-of this forsaken
Τὰ δέ, διὰ τὴν κατ᾽ ἐπίνοιαν διαίρεσιν. Ἐὰν
the(-things) and because-of the by thought division if
γὰρ τῇ ἐπινοίᾳ διέλῃς τὰ τῇ ἀληθείᾳ ἀχώριστα,
for in-the thought you-divide the(-things) in-the truth inseparable
ἤτοι τὴν σάρκα ἐκ τοῦ Λόγου, λέγεται καὶ δοῦλος, καὶ
that-is the flesh from the Word it-is-called both servant and
ἀγνοῶν· καὶ γὰρ τῆς δούλης καὶ ἀγνοούσης φύσεως ἦν,
ignorant also for of-the servile and ignorant nature it-was
καὶ εἰ μὴ ἥνωτο τῷ Θεῷ Λόγῳ ἡ σάρξ, δούλη
and if not had-been-united — to-God Word the flesh servile
ἦν, καὶ ἀγνοοῦσα· ἀλλὰ διὰ τὴν πρὸς τὸν Θεὸν
it-was and ignorant but because-of the to — God
Λόγον καθ᾽ ὑπόστασιν ἕνωσιν, οὔτε δούλη ἦν, οὔτε
Word according-to hypostasis union neither servile it-was nor
ἠγνόει. Οὕτω καὶ Θεὸν ἑαυτοῦ τὸν Πατέρα ἐκάλεσεν.
was-it-ignorant so also God his the Father he-called
Τὰ δέ, διὰ τὴν πρὸς ἡμᾶς φανέρωσίν τε καὶ
the(-things) and because-of the to us manifestation both and
πίστωσιν, ὡς τό· Πάτερ, δόξασόν με τῇ δόξῃ,
confirmation as the(-word) Father glorify me with-the glory
ᾗ εἶχον πρὸ τοῦ κόσμον εἶναι, παρά σοι. Αὐτὸς μὲν
which I-had before the (the)-world to-be with you he indeed
γὰρ δεδοξασμένος ἦν τε καί ἐστιν, ἀλλ᾽ ἡμῖν οὐκ ἦν
for glorified was both and is but to-us not was
φανερωθεῖσα, καὶ πιστωθεῖσα ἡ δόξα αὐτοῦ. Καὶ τὸ
manifested and confirmed the glory his and the(-word)
ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον· Τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ
by the Apostle spoken of-the declared Son of-God

ἐν δυνάμει, κατὰ Πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως
in power according-to (the)-Spirit of-holiness by (the)-resurrection
νεκρῶν· διὰ γὰρ τῶν θαυμάτων, καὶ τῆς ἀναστάσεως,
of-(the)-dead through for the miracles and the resurrection
καὶ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος ἐφανερώθη,
and the coming-upon of-the holy Spirit it-was-manifested
καὶ ἐπιστώθη τῷ κόσμῳ, ὅτι Υἱός ἐστι τοῦ Θεοῦ. Καὶ
and confirmed to-the world that Son he-is — of-God and
τό· Προέκοπτε σοφίᾳ καὶ χάριτι.
the(-word) he-advanced in-wisdom and grace
Τὰ δέ, κατὰ τὴν τοῦ Ἰουδαίων προσώπου οἰκείωσιν,
the(-things) and by the of-the of-Jews person appropriation
μετὰ τῶν Ἰουδαίων ἀριθμῶν ἑαυτόν, ὡς πρὸς τὴν
with the Jews numbering himself as to the
Σαμαρεῖτίν φησιν· Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε,
Samaritan(-woman) he-says you venerate what not you-know
ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ
we venerate what we-know because the salvation from
τῶν Ἰουδαίων ἐστίν.
the Jews is
Τρίτος τρόπος, ὁ τῆς μιᾶς ὑποστάσεως δηλωτικός,
(the)-third mode the(-one) of-the one hypostasis indicative
καὶ τοῦ συναμφοτέρου παραστατικός· οἷον τό· Ἐγὼ
and of-the both-together representative such-as the(-word) I
ζῶ διὰ τὸν Πατέρα, καὶ ὁ τρώγων με, κἀκεῖνος
live because-of the Father and the(-one) eating me he-too
ζήσεται δι' ἐμέ· καὶ τό· Ὑπάγω πρὸς τὸν Πατέρα,
will-live because-of me and the(-word) I-go to the Father
καὶ οὐκέτι θεωρεῖτέ με· καὶ τό· Οὐκ ἂν τὸν Κύριον τῆς
and no-longer you-see me and the(-word) not — the Lord of-the
δόξης ἐσταύρωσαν· καὶ τό· Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν
glory they-would-have-crucified and the(-word) no-one has-ascended into the

οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς
heaven except — the(-one) from the heaven having-come-down the Son
τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ, καὶ τὰ τοιαῦτα.
of-the man the(-one) being in the heaven and the such(-things)
Καὶ τῶν μετὰ τὴν ἀνάστασιν, τὰ μὲν εἰσὶ
and of-the(-things) after the resurrection the(-things) indeed are
θεοπρεπῆ, ὡς τό· Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα
befitting-God as the(-word) baptizing them in the name
τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· ὡς
of-the Father and of-the Son and of-the holy Spirit as
Θεοῦ τοῦ Υἱοῦ δηλονότι· καὶ τό· Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν
of-God the Son clearly and the(-word) behold I with you
εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος,
am all the days until the consummation of-the age
καὶ τὰ τοιαῦτα· ὡς γὰρ Θεός ἐστι μεθ' ἡμῶν· τὰ δὲ
and the such(-things) as for God he-is with us the(-things) but
ἀνθρωποπρεπῆ, ὡς τό· Ἐκράτησαν αὐτοῦ τοὺς πόδας·
befitting-man as the(-word) they-took-hold-of his the feet
καὶ τό· Κἀκεῖ με ὄψονται, καὶ τὰ τοιαῦτα.
and the(-word) and-there me they-will-see and the such(-things)
Τῶν δὲ μετὰ τὴν ἀνάστασιν ἀνθρωποπρεπῶν τρόποι
of-the(-things) and after the resurrection befitting-man (the)-modes
εἰσὶ διάφοροι. Τὰ μὲν γὰρ ἀληθῶς μέν, ἀλλ' οὐ κατὰ
are various the(-things) indeed for truly indeed but not according-to
φύσιν, ἀλλὰ κατ' οἰκονομίαν πρὸς τὸ πιστώσασθαι,
nature but according-to dispensation for the to-confirm
ὅτι αὐτὸ τὸ παθὸν σῶμα ἀνέστη, ὡς οἱ μώλωπες, ἡ
that the-very the having-suffered body rose as the wounds the
βρῶσις, καὶ ἡ πόσις ἡ μετὰ τὴν ἀνάστασιν. Τὰ δὲ
eating and the drinking the after the resurrection the(-things) but
ἀληθῶς καὶ κατὰ φύσιν, ὡς τὸ μεταβαίνειν τόπους ἐκ
truly and according-to nature as the to-pass-over places from

τόπων ἀμόχθως, καὶ τὸ διὰ τῶν θυρῶν κεκλεισμένων
places without-toil and the through the doors shut
εἰσελθεῖν. Τὰ δὲ κατὰ προσποίησιν, ὡς τό·
to-enter the(-things) but by pretense as the(-word)
Προσεποιήσατο πορρώτερο πορεύεσθαι. Τὰ δὲ τοῦ
he-pretended farther to-go the(-things) but of-the
συναμφοτέρου, ὡς τό· Ἀναβαίνω πρὸς τὸν Πατέρα μου,
both-together as the(-word) I-ascend to the Father my
καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν· καὶ τό·
and Father your and God my and God your and the(-word)
Εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης· καὶ τό· Ἐκάθισεν
shall-enter the king of-the glory and the(-word) he-sat
ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν τοῖς ὑψηλοῖς· τὰ δέ, ὡς
at (the)-right of-the majesty in the heights the(-things) but as
μεθ' ἡμῶν ἑαυτὸν τάττοντος, τῷ τρόπῳ τῆς κατὰ ψιλὴν
with us himself ranking by-the mode of-the according-to bare
ἐπίνοιαν διαιρέσεως, ὡς τό· Θεόν μου, καὶ Θεὸν ὑμῶν.
thought division as the(-word) God my and God your
Δεῖ οὖν τὰ μὲν ὑψηλὰ προσνέμειν τῇ θείᾳ καὶ
(one)-must then the(-things) indeed lofty assign to-the divine and
κρείττονι φύσει παθῶν καὶ σώματος· τὰ δὲ ταπεινά,
higher nature (than)-passions and body the(-things) but lowly
τῇ ἀνθρωπίνῃ· τὰ δὲ κοινά, τῷ συνθέτῳ, ἤγουν
to-the human the(-things) but common to-the composite that-is
τῷ ἑνὶ Χριστῷ, ὅς ἐστι Θεὸς καὶ ἄνθρωπος, καὶ εἰδέναι
to-the one Christ who is God and man and to-know
ἀμφότερα ἑνὸς καὶ τοῦ αὐτοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
both of-one and the same Lord our Jesus Christ
Ἑκάστου γὰρ τὸ ἴδιον γινώσκοντες, καὶ ἀμφότερα
of-each for the proper(-thing) knowing and both
ἐξ ἑνὸς πραττόμενα βλέποντες, ὀρθῶς πιστεύσομεν, καὶ
from one done seeing rightly we-shall-believe and

οὐ πλανηθησόμεθα. Ἐξ ὧν ἁπάντων, τῶν μὲν ἑνωθεισῶν
not we-shall-be-led-astray from which all of-the indeed united
φύσεων ἡ διαφορὰ γινώσκεται, καὶ ὅτι μὴ ταὐτόν, ὥς
natures the difference is-known and that not (are)-the-same as
φησιν ὁ θειότατος Κύριλλος, ἐν ποιότητι φυσικῇ θεότης
says the most-divine Cyril in quality natural divinity
τε καὶ ἀνθρωπότης. Εἷς γε μὴν Υἱός, καὶ Χριστός, καὶ
both and humanity one indeed truly Son and Christ and
Κύριος· καὶ ὡς ἑνὸς ὄντος, ἓν αὐτοῦ καὶ τὸ πρόσωπον,
Lord and as one being one his also the person
κατ' οὐδένα τρόπον διὰ τὴν ἐπίγνωσιν τῆς φυσικῆς
in no way because-of the recognition of-the natural
διαφορᾶς μεριζομένης τῆς καθ' ὑπόστασιν ἑνώσεως.
difference being-divided of-the according-to hypostasis union

Ὅτι οὐκ ἔστι τῶν κακῶν αἴτιος ὁ Θεός

XCII · THAT GOD IS NOT THE CAUSE OF EVILS

Scripture calls God's permission his activity, as when the potter makes vessels of honor and dishonor: our own choice makes them honorable or not, as Paul shows. "God shut all up in disobedience" means that he permitted it, for the good is free. When God is said to create evils, these are afflictions, painful to sense but good in truth, bringing conversion; and we are their cause, for involuntary evils are the offspring of voluntary ones. Scripture also speaks causally of what only follows, as "against you alone I sinned, that you may be justified": God does not need our sin.

Χρὴ εἰδέναι, ὅτι ἔθος τῇ θείᾳ Γραφῇ, τὴν
(one)-must know that (it-is)-(the)-custom for-the divine Scripture the
παραχώρησιν τοῦ Θεοῦ, ἐνέργειαν αὐτοῦ καλεῖν, ὡς ὅταν
permission — of-God activity his to-call as when
λέγῃ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ· Ἢ
says the Apostle in the to (the)-Romans Epistle or

οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ
not does-have authority the potter of-the clay from the same
φυράματος ποιῆσαι, ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς
lump to-make one indeed for honor (a)-vessel one but for
ἀτιμίαν; Ὅτι μὲν γὰρ αὐτὸς ποιεῖ καὶ ταῦτα κἀκεῖνα·
dishonor that indeed for he makes both these and-those
μόνος γὰρ αὐτός ἐστι τῶν ἁπάντων Δημιουργός, ἀλλ' οὐκ
alone for he is of-the all Creator but not
αὐτὸς τίμια κατασκευάζει, ἢ ἄτιμα, ἀλλ' ἡ οἰκεία
he honorable(-ones) fashions or dishonorable(-ones) but the own
ἑκάστου προαίρεσις. Καὶ τοῦτο δῆλον, ἐξ ὧν ὁ αὐτὸς
of-each choice and this (is)-clear from what the same
Ἀπόστολος ἐν τῇ πρὸς Τιμόθεον δευτέρᾳ Ἐπιστολῇ φησιν·
Apostle in the to Timothy second Epistle says
Ἐν μεγάλῃ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ,
in (a)-great house not are only vessels golden and silver
ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμήν,
but also wooden and earthen and some indeed for honor
ἃ δὲ εἰς ἀτιμίαν. Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ
some but for dishonor if then anyone cleanses himself from
τούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον καὶ εὔχρηστον
these he-will-be (a)-vessel for honor sanctified and useful
τῷ Δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. Δῆλον
to-the Master for every work good prepared (it-is)-clear
δὲ ὡς ἑκουσίως ἡ κάθαρσις γίνεται· Ἐὰν γάρ τις, φησίν,
and that voluntarily the cleansing comes-about if for anyone he-says
ἐκκαθάρῃ ἑαυτόν· ἡ δὲ ἀκόλουθος ἀντιστροφὴ ἀντιφωνεῖ·
cleanses himself the and consequent converse answers
Ἐὰν δὲ μὴ ἐκκαθάρῃ, ἔσται σκεῦος εἰς ἀτιμίαν, ἄχρηστον
if but not he-cleanses he-will-be (a)-vessel for dishonor useless
τῷ Δεσπότῃ, συντριβῆς ἄξιον. Τὸ οὖν προκείμενον ῥητόν,
to-the Master of-breaking worthy the then proposed saying

καὶ τό· Συνέκλεισεν ὁ Θεὸς πάντας εἰς ἀπείθειαν·
and the(-word) shut-up — God all into disobedience
καὶ τό· Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως,
and the(-word) gave them — God (a)-spirit of-stupor
ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν·
eyes of-the not to-see and ears of-the not to-hear
ταῦτα πάντα, οὐχ ὡς τοῦ Θεοῦ ἐνεργήσαντος ἐκληπτέον,
these all not as — of-God having-acted (are)-to-be-taken
ἀλλ' ὡς τοῦ Θεοῦ παραχωρήσαντος, διὰ τὸ αὐτεξούσιον
but as — of-God having-permitted because-of the self-determining
καὶ τὸ ἀβίαστον εἶναι τὸ καλόν.
and the unforced to-be the good
Τὴν οὖν παραχώρησιν αὐτοῦ, ὡς ἐνέργειαν καὶ ποίησιν αὐτοῦ
the then permission his as activity and making his
λέγειν σύνηθες τῇ θείᾳ Γραφῇ· ἀλλὰ μὴν καὶ ὅτε φησὶ
to-call (is)-customary for-the divine Scripture but indeed also when it-says
τὸν Θεὸν κτίζειν κακά, καὶ μὴ εἶναι ἐν πόλει κακίαν ἣν ὁ
— God to-create evils and not to-be in (a)-city evil which the
Κύριος οὐκ ἐποίησεν, οὐ κακῶν αἴτιον τὸν Θεὸν δείκνυσιν,
Lord not made not of-evils cause — God it-shows
ἀλλ' ἐπειδὴ δισέμφατον τὸ τῆς κακίας ὄνομα, δύο
but since ambiguous the of-the evil name two(-things)
σημαῖνον· καὶ ποτὲ μὲν γὰρ τὸ τῇ φύσει κακὸν δηλοῖ,
signifying also sometimes indeed for the by-the nature evil it-shows
ὅπερ ἐναντίον ἐστὶ τῇ ἀρετῇ, καὶ τῇ τοῦ Θεοῦ θελήσει·
which opposed is to-the virtue and to-the — of-God will
ποτὲ δὲ τὸ πρὸς τὴν ἡμετέραν αἴσθησιν κακὸν καὶ ἐπίπονον,
sometimes but the to the our perception evil and painful
ἤγουν τὰς θλίψεις καὶ ἐπαγωγάς. Αὗται δέ, τῷ μὲν δοκεῖν
that-is the afflictions and visitations these but in-the indeed seeming
κακαί εἰσι, ἀλγειναὶ τυγχάνουσαι, τῇ δὲ ἀληθείᾳ, ἀγαθαί·
evil are painful being in-the but truth good

ἐπιστροφῆς γὰρ καὶ σωτηρίας γίνονται τοῖς συνιοῦσι
of-conversion for and of-salvation they-become to-the(-ones) understanding
πρόξενοι· ταύτας διὰ Θεοῦ γίνεσθαί φησιν ἡ Γραφή.
procurers these through God to-come-about says the Scripture
Ἰστέον δὲ ὡς καὶ τούτων ἡμεῖς ἐσμεν αἴτιοι. Τῶν
(one)-must-know and that also of-these we are causes of-the
γὰρ ἑκουσίων κακῶν τὰ ἀκούσιά εἰσιν ἔκγονα.
for voluntary evils the involuntary(-things) are offspring
Καὶ τοῦτο δὲ ἰστέον, ὅτι ἔθος τῇ Γραφῇ,
and this too (one)-must-know that (it-is)-(the)-custom for-the Scripture
τινὰ ἐκβατικῶς ὀφείλοντα λέγεσθαι, αἰτιολογικῶς
some(-things) consecutively needing to-be-said causally
λέγειν· ὡς τό· Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν
to-say as the(-word) against-you alone I-sinned and the evil
ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς
before you I-did so-that — you-may-be-justified in the
λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Οὐ γὰρ
words your and you-may-prevail in the to-be-judged you not for
ὁ ἁμαρτήσας, ἵνα νικήσῃ ὁ Θεός, ἥμαρτεν, οὔτε
the(-one) having-sinned that might-prevail — God sinned nor
δὲ ὁ Θεὸς ἐδεῖτο τῆς ἡμῶν ἁμαρτίας, ἵνα ἐκ ταύτης
and — God needed the our sin that from this
νικητὴς ἀναφανῇ. Φέρει γὰρ ἀσυγκρίτως κατὰ πάντων
victor he-might-appear carries-off for incomparably against all
καὶ μὴ ἁμαρτανόντων τὰ νικητήρια, δημιουργὸς ὤν, καὶ
even not sinning the victory-prizes creator being and
ἀκατάληπτος, καὶ ἄκτιστος, καὶ φυσικὴν ἔχων τὴν δόξαν,
incomprehensible and uncreated and natural having the glory
καὶ οὐκ ἐπίκτητον· ἀλλ᾽ ὅτι ἡμῶν ἁμαρτανόντων, οὐκ
and not acquired but because we sinning not
ἄδικός ἐστιν ἐπιφέρων τὴν ὀργήν· καὶ μετανοοῦσι
unjust he-is bringing-on the wrath and to-the(-ones)-repenting

συγχωρῶν, νικητὴς τῆς ἡμετέρας κακίας ἀναδείκνυται·
forgiving victor of-the our wickedness he-is-shown
οὐκ ἐπὶ τούτῳ δὲ ἡμεῖς ἁμαρτάνομεν, ἀλλ᾽ ὅτι οὕτως
not for this but we sin but because so
ἀποβαίνει τὸ πρᾶγμα. Ὥσπερ, ἐὰν κάθηταί τις
turns-out the matter as if is-sitting someone
ἐργαζόμενος, φίλος δέ τις ἐπιστῇ, φησὶν ὅτι Ἵνα
working (a)-friend and someone comes-up he-says that in-order-that
μηδὲ σήμερον ἐργάσωμαι, παρεγένετο ὁ φίλος. Ὁ μὲν
not-even today I-should-work came the friend the indeed
οὖν φίλος οὐχ ἵνα μὴ ἐργάσηται παρεγένετο, οὕτω δὲ
then friend not in-order-that not he-should-work came so but
ἀπέβη· ἀσχολούμενος γὰρ περὶ τὴν τοῦ φίλου ἀποδοχήν,
it-turned-out being-busied for about the of-the friend reception
οὐκ ἐργάζεται. Λέγεται καὶ ταῦτα ἐκβατικά, ὅτι οὕτως
not he-works are-called also these(-sayings) consecutive because so
ἀποβαίνουσι τὰ πράγματα. Οὐ θέλει δὲ ὁ Θεὸς μόνος εἶναι
turn-out the matters not wills and — God alone to-be
δίκαιος, ἀλλὰ πάντας ὁμοιοῦσθαι αὐτῷ κατὰ δύναμιν.
righteous but all to-be-made-like to-him according-to (their)-power

Ὅτι οὐ δύο ἀρχαί

XCIII · THAT THERE ARE NOT TWO PRINCIPLES

A good and an evil principle would destroy each other and could not coexist; whoever divided their territory would rather be God, and anything between them would make three principles. Evil cannot keep peace, nor good fight, so there is one principle, free of all evil. Evil is only the privation of good, a falling away from what is natural, for all God made was very good. It is no substance but a voluntary deviation, sin, invented by the devil, who was made a good angel and fell by his own free choice, removed from God not in place but in inclination.

Ὅτι οὐ δύο ἀρχαί, μία ἀγαθή, καὶ μία πονηρά, ἐντεῦθεν
that not (are)-two principles one good and one evil hence
εἰσόμεθα. Ἐναντία γὰρ ἀλλήλοις τὸ ἀγαθὸν καὶ τὸ
we-shall-know contrary for to-one-another the good and the
πονηρόν, καὶ ἀλλήλων φθαρτικά, καὶ ἐν ἀλλήλοις, ἢ σὺν
evil and of-one-another destructive and in one-another or with
ἀλλήλοις οὐχ ὑφιστάμενα· ἐν μέρει τοίνυν τούτων ἕκαστον
one-another not subsisting in part then of-these each
ἔσται τοῦ παντός. Καὶ πρῶτον μὲν περιγραφήσονται,
will-be of-the all and first indeed they-will-be-circumscribed
οὐχ ὑπὸ τοῦ παντὸς μόνον, ἀλλὰ καὶ ὑπὸ μέρους τοῦ
not by the all only but also by (a)-part of-the
παντὸς τούτων ἕκαστον.
all of-these each
Ἔπειτα τίς ὁ τὴν χώραν ἑκάστῳ ἀποτεμνόμενος; Οὐ
then who (is)-the(-one) the territory to-each apportioning not
γὰρ ἀλλήλοις συνενεχθῆναι καὶ συμβιβασθῆναι φήσουσιν·
for with-one-another to-have-come-together and to-have-been-reconciled they-will-say
ἐπεὶ τὸ κακὸν οὐ κακόν, εἰρήνην ἄγον, πρὸς τὸ ἀγαθόν τε
since the evil not (is)-evil peace keeping toward the good and
συμβιβαζόμενον, οὐδ' ἀγαθόν, τὸ ἀγαθόν, φιλικῶς πρὸς τὸ
reconciled nor good the good amicably toward the
κακὸν διακείμενον. Εἰ δὲ ἕτερος, ὁ τούτων ἑκάστῳ τὴν
evil disposed if but another (is)-the(-one) of-these to-each the
οἰκείαν ἀφορίσας διατριβήν, ἐκεῖνος μᾶλλον ἔσται Θεός.
own having-marked-off abode that(-one) rather will-be God
Ἀνάγκη δὲ καὶ δυοῖν θάτερον, ἢ ἅπτεσθαι καὶ φθείρειν
(it-is)-necessary and also of-two one(-of-them) either to-touch and to-destroy
ἀλλήλους, ἢ εἶναί τι μέσον, ἐν ᾧ οὐδὲ ἀγαθόν, οὐδὲ
one-another or to-be something between in which neither good nor

κακὸν ἔσται, ὥσπερ τι διάφραγμα, διεῖργον ἐξ ἀλλήλων
evil will-be as-it-were some partition separating from one-another
ἀμφότερα. Καὶ οὐκ ἔτι δύο, ἀλλὰ τρεῖς ἀρχαὶ ἔσονται.
both and no longer two but three principles there-will-be
Ἀνάγκη δὲ καὶ τούτων τὸ ἕτερον, ἢ εἰρηνεύειν, ὅπερ
(it-is)-necessary and also of-these the one either to-be-at-peace which
τὸ κακὸν οὐ δύναται· τὸ γὰρ εἰρηνεῦον οὐ κακόν· ἢ
the evil not can the(-thing) for being-at-peace (is)-not evil or
μάχεσθαι, ὅπερ τὸ ἀγαθὸν οὐ δύναται· τὸ γὰρ μαχόμενον
to-fight which the good not can the(-thing) for fighting
οὐ τελείως ἀγαθόν· ἢ τὸ μὲν κακὸν μάχεσθαι, τὸ δὲ
(is)-not perfectly good or the indeed evil to-fight the but
ἀγαθὸν μὴ ἀντιμάχεσθαι, ἀλλ᾽ ὑπὸ τοῦ κακοῦ φθείρεσθαι·
good not to-fight-back but by the evil to-be-destroyed
ἢ ἀεὶ λυπεῖσθαι, καὶ κακοῦσθαι, ὅπερ οὐ τοῦ ἀγαθοῦ
or always to-be-grieved and to-be-afflicted which (is)-not of-the good
γνώρισμα· μία τοίνυν ἀρχή, πάσης κακίας ἀπηλλαγμένη.
(a)-mark one then (is-the)-principle from-all evil freed
Ἀλλ᾽ εἰ τοῦτο, φασί, πόθεν τὸ κακόν; Ἀμήχανον γὰρ
but if this they-say whence (is)-the evil impossible for
ἐκ τοῦ ἀγαθοῦ τὸ κακὸν ἔχειν τὴν γένεσιν. Φαμὲν οὖν,
from the good the evil to-have the origin we-say then
ὅτι τὸ κακὸν οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ στέρησις τοῦ
that the evil nothing other is than — privation of-the
ἀγαθοῦ, καὶ ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν
good and from the according-to nature to the contrary-to nature
παραδρομή· οὐδὲν γὰρ κακὸν κατὰ φύσιν. Πάντα γὰρ
(a)-deviation nothing for (is)-evil according-to nature all for
ὅσα ἐποίησεν ὁ Θεός, καλὰ λίαν, καθὸ γέγονεν·
as-many-as made — God (were)-good very in-so-far-as they-came-to-be
οὕτω τοίνυν μένοντα, καθὼς ἔκτισται, καλὰ λίαν
so then remaining as they-have-been-created good very

εἰσίν· ἑκουσίως δὲ ἀνεκφοιτῶντα ἐκ τοῦ κατὰ φύσιν,
are voluntarily but departing from the according-to nature
καὶ εἰς τὸ παρὰ φύσιν ἐρχόμενα, ἐν τῷ κακῷ γίνονται.
and to the contrary-to nature coming in the evil they-come-to-be
Κατὰ φύσιν μὲν οὖν πάντα δοῦλα καὶ ὑπήκοα
according-to nature indeed then all(-things) (are)-servants and obedient
τοῦ Δημιουργοῦ. Ὅταν οὖν ἑκουσίως τι τῶν κτισμάτων
of-the Creator when then voluntarily any of-the creatures
ἀφηνιάσῃ, καὶ παρήκοον τοῦ ποιήσαντος αὐτὸ γένηται,
rebels and disobedient to-the(-one) having-made it becomes
ἐν ἑαυτῷ συνεστήσατο τὴν κακίαν. Κακία γὰρ οὐκ οὐσία
in itself it-has-established the evil evil for not substance
τίς ἐστιν, οὐδὲ οὐσίας ἰδίωμα, ἀλλὰ συμβεβηκός, ἤτοι
any is nor of-substance (a)-property but (an)-accident that-is
ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἑκούσιος
from the according-to nature to the contrary-to nature voluntary
παρατροπή, ὅπερ ἐστὶν ἁμαρτία.
(a)-deviation which is sin
Πόθεν οὖν ἡ ἁμαρτία; Τῆς αὐτεξουσίου γνώμης τοῦ
whence then (is)-the sin of-the self-determining inclination of-the
διαβόλου εὕρημα. Κακὸς οὖν ὁ διάβολος; Καθὸ
devil (the)-invention evil then (is)-the devil in-so-far-as
μὲν γέγονεν, οὐ κακός, ἀλλ' ἀγαθός· ἄγγελος γὰρ
indeed he-came-to-be not evil but good (an)-angel for
φωτεινὸς καὶ λαμπρότατος ὑπὸ τοῦ Δημιουργοῦ ἔκτισται,
luminous and most-radiant by the Creator was-created
αὐτεξούσιος ὡς λογικός· ἑκουσίως τε τῆς κατὰ φύσιν
self-determining as rational voluntarily and from-the according-to nature
ἀρετῆς ἀπεφοίτησε, καὶ ἐν τῷ ζόφῳ τῆς κακίας γέγονε,
virtue he-departed and in the gloom of-the evil became
Θεοῦ μακρυνθεὶς τοῦ μόνου ἀγαθοῦ, καὶ ζωοποιοῦ,
from-God having-been-removed-far the only good and life-giving

καὶ φωτοποιοῦ· ἐξ αὐτοῦ γὰρ πᾶν ἀγαθὸν ἀγαθύνεται,
and light-giving from him for every good is-made-good
καὶ καθόσον ἐξ αὐτοῦ μακρύνεται γνώμῃ· οὐ γὰρ
and in-so-far-as from him he-is-removed-far in-inclination not for
τόπῳ· ἐν τῷ κακῷ γέγονεν.
in-place in the evil he-has-come-to-be

Τίνος ἕνεκεν προγινώσκων ὁ Θεὸς τοὺς ἁμαρτάνειν, καὶ μὴ μετανοεῖν μέλλοντας, ἔκτισεν

XCIV · WHY GOD CREATED THOSE WHO WOULD SIN

God brings things into being out of goodness and foreknows what will be; were they not going to exist, they would not be foreknown as evil. If he had kept those he foresaw would become evil by their own choice from coming to be, evil would have overcome his goodness. He makes all things good, and each becomes good or evil by choice. "It were better for that man had he not been born" blames not his creation but the evil he added to it by his sloth, as a man given wealth and power by a king who uses them against him.

Ὁ Θεὸς δι' ἀγαθότητα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ
— God because-of goodness from the not being into the
εἶναι παράγει τὰ γινόμενα, καὶ τῶν ἐσομένων
to-be brings-forth the(-things) coming-to-be and of-the(-things) going-to-be
προγνώστης ἐστίν. Εἰ μὲν οὖν μὴ ἔμελλον ἔσεσθαι, οὐδ'
(a)-foreknower he-is if indeed then not they-were-going to-be neither
ἂν κακοὶ ἔμελλον ἔσεσθαι, οὐδ' ἂν προεγινώσκοντο.
— evil would-they-be-going to-be nor — would-they-be-foreknown
Τῶν γὰρ ὄντων αἱ γνώσεις, καὶ τῶν πάντως
of-the for existing(-things) (are)-the knowledges and of-the(-things) certainly
ἐσομένων, αἱ προγνώσεις. Πρῶτον γὰρ τὸ εἶναι, καὶ
going-to-be the foreknowledges first for (is)-the to-be and

τότε τὸ καλόν, ἢ κακὸν εἶναι. Εἰ δὲ μέλλοντας ἔσεσθαι
then the good or evil to-be if and going to-be
διὰ τὴν τοῦ Θεοῦ ἀγαθότητα, τὸ κακοὺς ἐξ οἰκείας
because-of the — of-God goodness the evil from own
προαιρέσεως μέλλειν ἔσεσθαι, ἐκώλυσεν αὐτοὺς γενέσθαι,
choice to-be-going to-be he-prevented them to-come-to-be
τὸ κακὸν ἐνίκα ἂν τὴν τοῦ Θεοῦ ἀγαθότητα. Ποιεῖ
the evil would-prevail — over-the — of-God goodness makes
τοιγαροῦν ὁ Θεὸς ἀγαθὰ ἅπαντα ἃ ποιεῖ· ἕκαστος δὲ
therefore — God good all(-things) which he-makes each but
ἐξ οἰκείας προαιρέσεως καλός τε καὶ κακὸς γίνεται. Εἰ
from own choice good both and evil becomes if
καὶ τοίνυν ἔφη ὁ Κύριος· Συνέφερε τῷ ἀνθρώπῳ ἐκείνῳ,
even then said the Lord (it-were)-better for-the man that
εἰ οὐκ ἐγεννήθη, οὐ τὴν οἰκείαν κτίσιν κακίζων,
if not he-had-been-born not the own creation finding-fault-with
ἔλεγεν, ἀλλὰ τὴν ἐξ οἰκείας προαιρέσεως καὶ ῥᾳθυμίας
he-said(-it) but the from own choice and sloth
ἐπιγενομένην τῷ κτίσματι αὐτοῦ κακίαν. Ἡ γὰρ τῆς οἰκείας
having-come-upon the creature his evil the for of-the own
γνώμης ῥᾳθυμία ἄχρηστον αὐτῷ τὴν τοῦ Δημιουργοῦ
inclination sloth useless to-him the of-the Creator
εὐεργεσίαν ἐποίησεν· ὥσπερ ἂν εἴ τις πλοῦτον καὶ
benefaction made as — if someone wealth and
ἀρχὴν παρὰ βασιλέως ἐγχειρισθείς, τυραννήσει τὸν
rule from (a)-king having-been-entrusted-with should-tyrannize the
εὐεργέτην, ὃν ἀξίως χειρωσάμενος τιμωρήσεται, εἰ μέχρι
benefactor whom deservedly having-subdued he-will-punish if to
τέλους τῇ τυραννίδι κατίδοι τοῦτον ἐναπομένοντα.
(the)-end in-the tyranny he-should-see him remaining-in

Περὶ νόμου Θεοῦ καὶ νόμου ἁμαρτίας

XCV · THE LAW OF GOD AND THE LAW OF SIN

God's will is good, and the commandment that teaches it is a law, keeping us in light; its transgression is sin, which comes from the devil's assault and our free acceptance and is also called a law. God's law stirs conscience, the law of the mind; the devil's assault through our members is the law of sin, which wars against it through the body's pleasure and takes us captive. God sent his Son in the likeness of sinful flesh and condemned sin in the flesh, and the Spirit helps our weakness, so we keep the commandments only through patience and prayer.

Ἀγαθὸν τὸ Θεῖον, καὶ ὑπεράγαθον, καὶ τὸ τούτου
good (is)-the Divine and super-good and the his
θέλημα· τοῦτο γὰρ ἀγαθόν, ὅπερ ὁ Θεὸς βούλεται.
will this for (is)-good which — God wills
Νόμος δέ ἐστιν ἡ τοῦτο διδάσκουσα ἐντολή, ἵνα
law and is the this teaching commandment that
ἐν αὐτῷ μένοντες, ἐν φωτὶ ὦμεν· ἧς ἐντολῆς ἡ
in it remaining in light we-may-be of-which commandment the
παράβασις ἁμαρτία ἐστίν. Αὕτη δὲ διὰ τῆς τοῦ διαβόλου
transgression sin is this and through the of-the devil
προσβολῆς, καὶ τῆς ἡμετέρας ἀβιάστου καὶ ἑκουσίου
assault and of-the our unforced and voluntary
παραδοχῆς συνίσταται. Λέγεται δὲ καὶ αὕτη νόμος.
acceptance is-constituted is-called and also this law
Ἐπιβαίνων οὖν ὁ τοῦ Θεοῦ νόμος τῷ νῷ ἡμῶν, ἐφέλκεται
coming-upon then the — of-God law to-the mind our draws(-it)
πρὸς ἑαυτόν, καὶ νύττει τὴν ἡμετέραν συνείδησιν. Λέγεται
toward itself and pricks the our conscience is-called
δὲ καὶ ἡ ἡμετέρα συνείδησις νόμος τοῦ νοὸς ἡμῶν. Καὶ
and also the our conscience (the)-law of-the mind our and
ἡ προσβολὴ δὲ τοῦ πονηροῦ, τουτέστιν ὁ νόμος τῆς
the assault too of-the evil(-one) that-is the law of-the

ἁμαρτίας, ἐπιβαίνων τοῖς μέλεσι τῆς σαρκὸς ἡμῶν, δι᾽
sin coming-upon the members of-the flesh our through
αὐτῆς ἡμῖν προσβάλλει. Ἅπαξ γὰρ παραβάντες ἑκουσίως
it on-us makes-assault once for having-transgressed voluntarily
τὸν νόμον τοῦ Θεοῦ, καὶ τὴν προσβολὴν τοῦ πονηροῦ
the law — of-God and the assault of-the evil(-one)
παραδεξάμενοι, ἐδώκαμεν αὐτῇ εἴσοδον, πραθέντες ὑφ᾽
having-accepted we-gave to-it entry having-been-sold by
ἑαυτῶν τῇ ἁμαρτίᾳ. Ὅθεν ἑτοίμως ἄγεται τὸ σῶμα ἡμῶν
ourselves to-the sin whence readily is-led the body our
πρὸς αὐτήν. Λέγεται οὖν καὶ ἡ ἐναποκειμένη τῷ σώματι
toward it is-called then also the stored-up in-the body
ἡμῶν ὀσμὴ καὶ αἴσθησις τῆς ἁμαρτίας, ἤτοι ἐπιθυμία καὶ
our odor and sensation of-the sin that-is desire and
ἡδονὴ τοῦ σώματος, νόμος ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἡμῶν.
pleasure of-the body (the)-law in the members of-the flesh our
Ὁ μὲν οὖν νόμος τοῦ νοός μου, ἤτοι ἡ συνείδησις,
the indeed then law of-the mind my that-is the conscience
συνήδεται τῷ νόμῳ τοῦ Θεοῦ, ἤτοι τῇ ἐντολῇ, καὶ
agrees with-the law — of-God that-is with-the commandment and
ταύτην θέλει. Ὁ δὲ νόμος τῆς ἁμαρτίας, ἤτοι ἡ προσβολὴ
this wills the but law of-the sin that-is the assault
διὰ τοῦ νόμου τοῦ ἐν τοῖς μέλεσιν, ἤτοι τῆς τοῦ
through the law of-the(-one) in the members that-is of-the of-the
σώματος ἐπιθυμίας, καὶ ῥοπῆς, καὶ κινήσεως, καὶ ἀλόγου
body desire and inclination and motion and irrational
μέρους τῆς ψυχῆς, ἀντιστρατεύεται τῷ νόμῳ τοῦ νοός μου,
part of-the soul wars-against the law of-the mind my
τουτέστι τῇ συνειδήσει, καὶ αἰχμαλωτίζει με, καὶ θέλοντα
that-is the conscience and takes-captive me even willing
τὸν τοῦ Θεοῦ νόμον, καὶ ἀγαπῶντα, καὶ μὴ θέλοντα
the — of-God law and loving and not willing

τὴν ἁμαρτίαν, κατὰ ἀνάκρασιν· διά τε τοῦ λείου τῆς
the sin by blending through both the smoothness of-the
ἡδονῆς, καὶ τῆς τοῦ σώματος ἐπιθυμίας, καὶ τοῦ ἀλόγου
pleasure and of-the of-the body desire and of-the irrational
μέρους τῆς ψυχῆς, ὡς ἔφην, πλανᾷ, καὶ πείθει δουλεῦσαι
part of-the soul as I-said it-deceives and persuades to-serve
τῇ ἁμαρτίᾳ· ἀλλ᾽ ὁ Θεὸς τὸ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ
the sin but — God the impossible(-thing) of-the law in which
ἠσθένει ὁ νόμος διὰ τῆς σαρκός, πέμψας τὸν Υἱὸν αὐτοῦ
was-weak the law through the flesh having-sent the Son his
ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας· σάρκα μὲν γὰρ ἀνέλαβεν,
in (the)-likeness of-flesh of-sin flesh indeed for he-assumed
ἁμαρτίαν δὲ οὐδαμῶς· κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί,
sin but in-no-way condemned the sin in the flesh
ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν τοῖς μὴ
that the righteous-requirement of-the law might-be-fulfilled in the(-ones) not
κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ Πνεῦμα. Τὸ γὰρ
according-to flesh walking but according-to Spirit the for
Πνεῦμα συναντιλαμβάνεται τῇ ἀσθενείᾳ ἡμῶν, καὶ παρέχει
Spirit helps the weakness our and supplies
δύναμιν τῷ νόμῳ τοῦ νοὸς ἡμῶν, κατὰ τοῦ νόμου τοῦ
power to-the law of-the mind our against the law of-the(-one)
ἐν τοῖς μέλεσιν ἡμῶν. Τὸ γάρ, Τί προσευξόμεθα καθὸ
in the members our the(-word) for what we-shall-pray as
δεῖ, οὐκ οἴδαμεν, ἀλλ᾽ αὐτὸ τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ
(one)-must not we-know but the-very the Spirit intercedes for
ἡμῶν στεναγμοῖς ἀλαλήτοις, τουτέστι διδάσκει ἡμᾶς τί
us with-groanings unutterable that-is teaches us what
προσευξόμεθα. Ὥστε ἀδύνατον, εἰ μὴ δι᾽ ὑπομονῆς
we-shall-pray so-that (it-is)-impossible except — through patience
καὶ προσευχῆς, τὰς ἐντολὰς τοῦ Κυρίου κατεργάσασθαι.
and prayer the commandments of-the Lord to-accomplish

Κατὰ Ἰουδαίων, περὶ τοῦ Σαββάτου

XCVI · AGAINST THE JEWS, ON THE SABBATH

The seventh day is the Sabbath, rest, for God rested on it. God gave it to the gross Israelites so that servant and beast might rest and the people give him at least a portion of their life; before the law there was no Sabbath. Yet Moses fasted forty days, Elijah walked forty days, Israel circumcises on the Sabbath, the priests work in the temple, and a beast is drawn from a pit. It was devised for infants under the elements; we are sons under grace, owing God all our time and resting from sin. We celebrate the resurrection, the rest of our nature, and seven signifies the present age, the eighth the age to come.

Σάββατον ἡ ἑβδόμη ἡμέρα κέκληται· δηλοῖ δὲ τὴν
Sabbath the seventh day has-been-called it-shows and the
κατάπαυσιν. Ἐν αὐτῇ γὰρ κατέπαυσεν ὁ Θεὸς ἀπὸ
rest in it for rested — God from
πάντων τῶν ἔργων αὐτοῦ, ὥς φησι ἡ θεία Γραφή· διὸ
all the works his as says the divine Scripture therefore
καὶ μέχρις ἑπτὰ ὁ τῶν ἡμερῶν ἀριθμὸς προβαίνων,
also to seven the of-the days number advancing
πάλιν ἀνακυκλοῦται, καὶ ἀπὸ τῆς πρώτης ἄρχεται.
again circles-back and from the first begins
Οὗτος ὁ ἀριθμὸς τίμιος παρὰ Ἰουδαίοις, τοῦ Θεοῦ
this the number (was)-honored among Jews — God
προστάξαντος τιμᾶσθαι αὐτόν, οὐχ ὡς ἔτυχεν, ἀλλὰ καὶ
having-commanded to-be-honored it not as it-happened but even
μετὰ βαρυτάτων ἐπὶ τῇ παραβάσει ἐπιτιμίων. Οὐχ ἁπλῶς
with most-severe for the transgression penalties not simply
δὲ τοῦτο προσέταξεν, ἀλλὰ διά τινας μυστικῶς τοῖς
and this he-commanded but because-of certain mystically by-the
πνευματικοῖς τε καὶ διορατικοῖς κατανοουμένας αἰτίας.
spiritual both and discerning perceived reasons

Ὡς ἐμὲ γοῦν γνῶναι τὸν ἀμαθῆ· ἵν' ἐκ τῶν
as I at-any-rate (am-able)-to-know the unlearned(-one) that from the
κατωτέρων καὶ παχυτέρων ἄρξωμαι· εἰδὼς ὁ Θεὸς τὸ παχύ
lower and grosser(-things) I-may-begin knowing — God the grossness
τε καὶ φιλόσαρκον, καὶ πρὸς τὴν ὕλην ὅλως ἀποῤῥεπὲς
both and love-of-flesh and toward the matter wholly propensity
τοῦ Ἰσραηλίτου λαοῦ, ἅμα δὲ καὶ τὸ ἀδιάκριτον·
of-the Israelite people together and also the lack-of-discernment
πρῶτον μέν, ἵνα ὁ δοῦλος καὶ τὸ ὑποζύγιον ἀναπαύσηται,
first indeed that the slave and the beast-of-burden might-rest
ὡς γέγραπται· ἐπειδὴ ἀνὴρ δίκαιος οἰκτείρει τὰς ψυχὰς
as it-is-written since (a)-man righteous pities the souls
κτηνῶν αὐτοῦ, ἅμα ἵνα δὲ καὶ σχολὴν ἄγοντες ἐκ τοῦ
of-beasts his together that and also leisure keeping from the
περὶ τὴν ὕλην περισπασμοῦ, πρὸς τὸν Θεὸν συνάγωνται,
about the matter distraction to — God they-might-be-gathered
ἐν ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, καὶ μελέτῃ
in psalms and hymns and songs spiritual and in-study
τῶν θείων Γραφῶν ἅπασαν τὴν ἑβδόμην ἀναλίσκοντες,
of-the divine Scriptures all the seventh(-day) spending
καὶ ἐν Θεῷ καταπαύοντες. Ὅτε μὲν γὰρ οὐκ ἦν
and in God resting when indeed for not there-was
νόμος, οὐ Γραφὴ θεόπνευστος, οὔτε τὸ Σάββατον τῷ
(the)-law not (the)-Scripture God-inspired nor the Sabbath —
Θεῷ ἀφιέρωτο. Ὅτε δὲ ἡ θεόπνευστος Γραφὴ διὰ
to-God had-been-dedicated when but the God-inspired Scripture through
Μωϋσέως ἐδόθη, ἀφιερώθη τῷ Θεῷ τὸ Σάββατον, ὡς
Moses was-given was-dedicated — to-God the Sabbath so-that
ἂν περὶ τὴν ταύτης μελέτην ἐν αὐτῷ ἀδολεσχήσωσιν,
— about the of-it study in it they-might-occupy-themselves
οἱ μὴ πάντα τὸν βίον τῷ Θεῷ ἀφιεροῦντες, οἱ
the(-ones) not all the life — to-God dedicating the(-ones)

μὴ πόθῳ τῷ Δεσπότῃ ὡς Πατρὶ δουλεύοντες, ἀλλ'
not with-desire the Master as (a)-Father serving but
ὡς δοῦλοι ἀγνώμονες, κἂν μικρὸν καὶ ἐλάχιστον μέρος
as slaves ungrateful even-if (a)-small and very-least part
τῆς ἑαυτῶν ζωῆς τῷ Θεῷ ἀποτέμωνται, καὶ τοῦτο
of-the their-own life — to-God they-cut-off and this
φόβῳ τῶν ἐπὶ τῇ παραβάσει εὐθυνῶν καὶ ἐπιτιμήσεων·
for-fear of-the for the transgression accountings and penalties
Δικαίῳ γὰρ νόμος οὐ κεῖται, ἀλλὰ ἀδίκῳ.
for-(the)-righteous for (the)-law not is-laid-down but for-(the)-unrighteous
Ἐπεὶ πρῶτος Μωϋσῆς τεσσαράκοντα ἡμερῶν, καὶ αὖθις
since first Moses forty days and again
ἑτέρων τεσσαράκοντα νηστείᾳ προσεδρεύσας τῷ Θεῷ,
other forty in-fasting having-waited-on — God
πάντως καὶ τοῖς Σάββασι διὰ νηστείας ἐκάκου ἑαυτόν,
certainly also on-the Sabbaths through fasting afflicted himself
τοῦ νόμου μὴ κακοῦν ἑαυτοὺς ἐν τῇ τοῦ Σαββάτου ἡμέρᾳ
the law not to-afflict themselves on the of-the Sabbath day
προστάσσοντος. Εἰ δὲ φαίεν, ὅτι πρὸ τοῦ νόμου τοῦτο,
commanding if but they-should-say that before the law (was)-this
τί φήσουσι περὶ τοῦ Θεσβίτου Ἠλιοῦ, τεσσαράκοντα
what will-they-say about the Tishbite Elijah forty
ἡμερῶν ὁδὸν ἀνύσαντος ἐν βρώσει μιᾷ; Οὗτος γὰρ οὐ
days' journey having-accomplished on food one this for not
μόνον διὰ τῆς νηστείας, ἀλλὰ καὶ διὰ τῆς ὁδοιπορίας
only through the fasting but also through the journeying
ἐν τοῖς Σάββασι τῶν τεσσαράκοντα ἡμερῶν ἑαυτὸν
on the Sabbaths of-the forty days himself
κακώσας, ἔλυσε τὸ Σάββατον· καὶ οὐκ ὠργίσθη τούτῳ
having-afflicted broke the Sabbath and not was-angry with-him
ὁ Θεός, ὁ τὸν νόμον δεδωκώς, ἀλλὰ καὶ ὡς ἀρετῆς
— God the(-one) the law having-given but even as of-virtue

ἔπαθλον, ἐν Χωρὴβ ἑαυτὸν ἐνεφάνισε. Τί δὲ περὶ Δανιὴλ
(a)-prize in Horeb himself he-manifested what and about Daniel
φήσουσιν; Οὐχὶ τρεῖς ἑβδομάδας διετέλεσεν ἄσιτος; Τί δὲ
will-they-say not three weeks did-he-continue without-food what and
πᾶς Ἰσραήλ, οὐ περιτέμνει τὸ παιδίον ἐν Σαββάτῳ, εἰ
(does)-all Israel not circumcise the child on (the)-Sabbath if
τύχοι ὀκταήμερον; Οὐχὶ δὲ καὶ τὴν μεγάλην νηστείαν, ἣν
it-happen eight-days-old not and also the great fast which
νενομοθέτηνται, εἰ ἐν Σαββάτῳ καταντήσοι, νηστεύουσι;
they-have-had-legislated if on (a)-Sabbath it-should-fall do-they-fast
Οὐχὶ δὲ καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ἐν τοῖς τῆς σκηνῆς
not and also the priests and the Levites in the of-the tabernacle
ἔργοις βεβηλοῦσι τὸ Σάββατον, καὶ ἀναίτιοί εἰσιν; Ἀλλὰ
works profane the Sabbath and blameless are but
καὶ κτῆνος ἂν εἰς βόθρον ἐμπέσοι ἐν Σαββάτῳ, ὁ μὲν
also (a)-beast if into (a)-pit should-fall on (the)-Sabbath the indeed
ἀνασπάσας, ἀναίτιος, ὁ δὲ παριδών, κατάκριτος.
having-pulled-up(-it) (is)-blameless the but having-overlooked(-it) condemned
Τί δὲ πᾶς Ἰσραήλ, οὐχὶ ἑπτὰ ἡμέρας τὴν τοῦ Θεοῦ
what and all Israel not seven days the — of-God
κιβωτὸν περιφέροντες, τὰ Ἰεριχούντινα τείχη περιῆεσαν,
ark carrying-around the of-Jericho walls went-around
ἐν αἷς πάντως ἦν καὶ τὸ Σάββατον;
in which certainly was also the Sabbath
Ὡς οὖν ἔφην, σχολῆς ἕνεκα τῆς πρὸς Θεόν, ἵνα κἂν
as then I-said of-leisure for-the-sake the toward God that even
σμικροτάτην ἀπόμοιραν αὐτῷ ἀπονέμωσι, καὶ ἀναπαύσωνται,
(the)-smallest portion to-him they-might-allot and might-rest
ὅ τε δοῦλος καὶ τὸ ὑποζύγιον, ἡ τοῦ Σαββάτου τήρησις
the both servant and the beast-of-burden the of-the Sabbath observance
ἐπινενόητο, τοῖς νηπίοις ἔτι, καὶ ὑπὸ τὰ στοιχεῖα τοῦ
had-been-devised for-the infants still and under the elements of-the

κόσμου δεδουλωμένοις, τοῖς σαρκικοῖς, καὶ μηδὲν ὑπὲρ τὸ
world enslaved the carnal and nothing beyond the
σῶμα, καὶ τὸ γράμμα ἐννοῆσαι δυναμένοις. Ὅτε δὲ ἦλθε τὸ
body and the letter to-conceive able when but came the
πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ
fullness of-the time sent-forth — God the Son his
τὸν μονογενῆ, γενόμενον ἐκ γυναικὸς ἄνθρωπον, γενόμενον
the only-begotten having-become of (a)-woman man having-become
ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν
under law that the(-ones) under law be-might-redeem that the
υἱοθεσίαν ἀπολάβωμεν. Ὅσοι γὰρ ἐλάβομεν αὐτόν, ἔδωκεν
adoption we-might-receive as-many-as for received him he-gave
ἡμῖν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς
to-us authority children of-God to-become to-the(-ones) believing in
αὐτόν· ὥστε οὐκέτι ἐσμὲν δοῦλοι, ἀλλ' υἱοί· οὐκέτι ὑπὸ νόμον,
him so-that no-longer we-are slaves but sons no-longer under law
ἀλλ' ὑπὸ χάριν· οὐκέτι μερικῶς τῷ Κυρίῳ δουλεύοντες ἐκ
but under grace no-longer partially the Lord serving from
φόβου, ἀλλὰ πάντα τὸν χρόνον τῆς ζωῆς αὐτῷ ἀνατιθέναι
fear but all the time of-the life to-him to-dedicate
ὀφείλοντες, καὶ ἀεὶ τὸν δοῦλον, τὸν θυμὸν λέγω καὶ τὴν
owing and always the slave the anger I-mean and the
ἐπιθυμίαν, ἀπὸ τῆς ἁμαρτίας καταπαύοντες, καὶ τῷ Θεῷ
desire from the sin resting and — to-God
σχολάζειν ἐπιτρέποντες· τὴν μὲν ἐπιθυμίαν ἅπασαν ἀεὶ
to-have-leisure permitting the indeed desire all always
πρὸς Θεὸν ἀνατείνοντες, τὸν δὲ θυμὸν κατὰ τῶν τοῦ Θεοῦ
toward God stretching-up the but anger against the — of-God
δυσμενῶν καθοπλίζοντες· καὶ τὸ ὑποζύγιον, ἤτοι τὸ σῶμα,
enemies arming and the beast-of-burden that-is the body

ὁμοίως, τὴν μὲν δουλείαν τῆς ἁμαρτίας ἀναπαύοντες,
likewise the indeed slavery of-the sin resting
ταῖς δὲ θείαις ἐντολαῖς ἐξυπηρετεῖσθαι προτρέποντες.
by-the but divine commandments to-be-of-service urging
Ταῦτα ὁ πνευματικὸς ἡμῖν ἐντέλλεται τοῦ Χριστοῦ νόμος,
these(-things) the spiritual on-us enjoins — of-Christ law
καὶ οἱ τοῦτον φυλάσσοντες, ὑπέρτεροι τοῦ Μωσαϊκοῦ
and the(-ones) this keeping superior to-the Mosaic
νόμου γεγόνασιν. Ἐλθόντος γὰρ τοῦ τελείου, τὸ ἐκ
law have-become having-come for the perfect the(-thing) in
μέρους κατήργηται, καὶ τοῦ καλύμματος τοῦ νόμου, ἤτοι
part has-been-abolished and the veil of-the law that-is
τοῦ καταπετάσματος διὰ τῆς τοῦ Σωτῆρος διαῤῥαγέντος
of-the curtain through the of-the Savior having-been-torn
σταυρώσεως, καὶ τοῦ Πνεύματος πυρίναις γλώσσαις
crucifixion and the Spirit with-fiery tongues
ἐκλάμψαντος, τὸ γράμμα κατήργηται, τὰ σωματικὰ
having-shone-forth the letter has-been-abolished the bodily(-things)
πέπαυται, καὶ ὁ τῆς δουλείας νόμος πεπλήρωται, καὶ
have-ceased and the of-the slavery law has-been-fulfilled and
νόμος ἐλευθερίας ἡμῖν δεδώρηται. Καὶ ἑορτάζομεν τὴν
(a)-law of-freedom to-us has-been-granted and we-celebrate the
τελείαν τῆς ἀνθρωπίνης φύσεως κατάπαυσιν· φημὶ δὲ τὴν
perfect of-the human nature rest I-mean and the
τῆς ἀναστάσεως ἡμέραν, ἐν ᾗ ἡμᾶς ὁ Κύριος Ἰησοῦς,
of-the resurrection day in which us the Lord Jesus
ὁ τῆς ζωῆς ἀρχηγὸς καὶ Σωτήρ, εἰς τὴν ἐπηγγελμένην
the of-the life author and Savior into the promised
τοῖς πνευματικῶς τῷ Θεῷ λατρεύουσι κληρουχίαν
to-the(-ones) spiritually — God worshiping inheritance
εἰσήγαγεν, εἰς ἣν αὐτὸς πρόδρομος ἡμῶν εἰσῆλθεν,
led-in into which he-himself (as)-forerunner our entered

ἀναστὰς ἐκ νεκρῶν, καὶ ἀνοιγέντων αὐτῷ τῶν οὐρανίων
having-risen from (the)-dead and having-been-opened for-him the heavenly
πυλῶν, ἐν δεξιᾷ τοῦ Πατρὸς κεκάθικε σωματικῶς, ἔνθα
gates at (the)-right of-the Father he-has-sat bodily where
καὶ οἱ τὸν πνευματικὸν τηροῦντες νόμον εἰσελεύσονται.
also the(-ones) the spiritual keeping law will-enter
Ἡμῖν τοίνυν τοῖς τῷ πνεύματι στοιχοῦσι, καὶ οὐ τῷ
for-us then the(-ones) by-the spirit walking and not by-the
γράμματι, πᾶσα ἡ τῶν σαρκικῶν ἐστιν ἀπόθεσις, καὶ ἡ
letter all the of-the carnal(-things) is (the)-putting-off and the
πνευματικὴ λατρεία, καὶ ἡ πρὸς Θεὸν συνάφεια. Περιτομὴ
spiritual worship and the to God conjunction circumcision
μὲν γάρ ἐστιν ἡ τῆς σωματικῆς ἡδονῆς, καὶ τῶν περιττῶν,
indeed for is the of-the bodily pleasure and of-the superfluous
καὶ οὐκ ἀναγκαίων ἀπόθεσις. Ἀκροβυστία γὰρ οὐδὲν ἕτερόν
and not necessary(-things) (the)-putting-off (the)-foreskin for nothing other
ἐστιν, εἰ μὴ δέρμα, ἡδονικοῦ μορίου περίττωμα.
is than — skin of-(the)-pleasure-giving member (a)-superfluity
Πᾶσα δὲ ἡδονὴ μὴ ἐκ Θεοῦ καὶ ἐν Θεῷ γινομένη περίττωμα
every but pleasure not from God and in God coming-about (a)-superfluity
ἡδονῆς ἐστιν· ἧς τύπος ἡ ἀκροβυστία. Σάββατον δέ,
of-pleasure is of-which (a)-figure (is)-the foreskin (the)-Sabbath and
ἡ ἐκ τῆς ἁμαρτίας κατάπαυσις. Ὥστε ἀμφότερα ἓν
(is)-the from the sin rest so-that both one(-thing)
τυγχάνουσι, καὶ οὕτως ἀμφότερα ἅμα ὑπὸ τῶν πνευματικῶν
happen-to-be and so both together by the spiritual(-ones)
τελούμενα, οὐδὲ τὴν τυχοῦσαν παρανομίαν ἐργάζονται.
performed not-even the slightest transgression work
Ἔτι δὲ ἰστέον ὅτι ὁ ἑπτὰ ἀριθμὸς πάντα τὸν παρόντα
further and (one)-must-know that the seven number all the present
χρόνον δηλοῖ, ὥς φησιν ὁ σοφώτατος Σολομών, δοῦναι
time shows as says the most-wise Solomon to-give

μερίδα τοῖς ἑπτά, καί γε τοῖς ὀκτώ. Καὶ ὁ θεηγόρος
(a)-portion to-the seven and indeed to-the eight and the God-speaking
Δαβὶδ περὶ τῆς ὀγδόης ψάλλων, περὶ τῆς μελλούσης μετὰ
David about the eighth singing about the coming after
τὴν ἐκ νεκρῶν ἀνάστασιν καταστάσεως ἔψαλλε. Τὴν
the from (the)-dead resurrection state sang the
ἑβδόμην οὖν ἡμέραν, ἀργίαν μὲν ἄγειν ἐκ τῶν σωματικῶν,
seventh then day idleness indeed to-keep from the bodily(-things)
τοῖς δὲ πνευματικοῖς ἐνασχολεῖσθαι προστάσσων ὁ νόμος,
with-the but spiritual(-things) to-be-occupied commanding the law
μυστικῶς πάντα τὸν χρόνον τῷ ἀληθινῷ Ἰσραήλ, καὶ
mystically all the time to-the true Israel and
νοῦν ὁρῶντα Θεὸν ἔχοντι, ὑπέφηνε, τῷ Θεῷ ἑαυτὸν
(a)-mind seeing God having intimated — to-God himself
προσάγειν, καὶ ὑπεράνω τῶν σωματικῶν γίνεσθαι.
to-bring and above the bodily(-things) to-become

Περὶ παρθενίας

XCVII · VIRGINITY

Carnal men disparage virginity with "cursed is everyone who raises no seed in Israel." But virginity was planted in our nature from the beginning: Adam was formed from virgin earth, Eve from Adam alone, and they lived as virgins in paradise; marriage was devised after the fall to keep the race from dying out. Elijah, the three children, and Daniel were virgins, and "seed in Zion" is spiritual. Virginity is the angels' way of life, as far above marriage as the angel is above man, and Christ showed it in himself. Marriage is honorable, a remedy against fornication, but virginity is better.

Κακίζουσιν οἱ σαρκικοὶ τὴν παρθενίαν, καὶ εἰς μαρτυρίαν
find-fault-with the carnal(-ones) the virginity and as testimony
προβάλλονται οἱ φιλήδονοι τό· Ἐπικατάρατος πᾶς
put-forward the pleasure-lovers the(-word) cursed (is)-everyone
ὃς οὐκ ἐγείρει σπέρμα ἐν τῷ Ἰσραήλ. Ἡμεῖς δέ φαμεν,
who not raises-up seed in — Israel we but say
τῷ ἐκ Παρθένου σαρκωθέντι Θεῷ Λόγῳ θαῤῥήσαντες,
in-the from (the)-Virgin incarnate God Word trusting
ὡς ἡ παρθενία ἄνωθεν, καὶ ἐξ ἀρχῆς ἐνεφυτεύθη τῇ
that the virginity from-above and from (the)-beginning was-implanted in-the
φύσει τῶν ἀνθρώπων. Ἐκ παρθένου γὰρ γῆς ὁ ἄνθρωπος
nature of-the men from virgin for earth the man
πεπλαστούργηται. Ἐκ μόνου Ἀδὰμ ἡ Εὔα ἔκτισται. Ἐν
was-fashioned from only Adam — Eve was-created in
παραδείσῳ παρθενία ἐπολιτεύετο. Φησὶ γοῦν ἡ θεία
